Ρωμανοῦ ἔπος, ἢ ψαλμὸς εἰς τὰς ἑξῆς ἑορτάς: εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ (20 Κοντάκια καὶ Οἶκος), εἰς τὰ Θεοφάνεια (15 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου (18 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Κυριακὴν τῆς Ἀπόκρεω (20 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Κυριακὴν τῆς Τυρινῆς (20 Κοντάκια μετὰ τοῦ Ἀλληλούϊα καὶ Οἶκος), εἰς τὴν τετάρτην Κυριακὴν τῆς μαγάλης Τεσσαρακοστῆς (14 Κοντάκια καὶ Οἶκος ἐν τῷ Μεσονυκτίῳ), εἰς τὴν Κυριακὴν τῶν Βαΐων (14 Κοντάκια καὶ Οἶκος), εἰς τὴν μεγάλην Παρασκευὴν (15 Κοντάκια καὶ Οἶκος), εἰς τὸ Πάσχα (20 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Κυριακὴν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ (9 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Ἀνάλυψιν τοῦ Κυρίου (14 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Πεντηκοστὴν (14 Κοντάκια καὶ Οἶκος), εἰς τὴν Κυριακὴν τῶν Ἁγίων Πάντων (14 Κοντάκια καὶ Οἶκος μετὰ τῆς ἀκροστιχίδος αἶνος Ρωμανοῦ), εἰς τοὺς ἁγίους Ἀναργύρους (4 Κοντάκια καὶ Οἶκος μετὰ τῆς ἐπιγραφῆς: Ποίημα Ρωμανοῦ), εἰς τοὺς ἐν Βαβυλῶνι παῖδας (14 Κοντάκια καὶ Οἶκος), καὶ εἰς τοὺς πρωτοκορυφαίους Ἀποστόλους (14 Κοντάκια καὶ Οἶκος). Ὁ ἀριθμὸς ἁπάντων τῶν ἐν τῷ Κοντακαρίῳ τούτῳ Κοντακίων, ὧν τὰ μὲν ἀναμφηρίστως, τὰ δὲ πάνυ πιθανῶς ἀποδεκτέον ὡς ἔργον τοῦ Ποιητοῦ τῶν Κοντακίων, ἀνέρχεται μέχρι τῶν πεντακοσίων. Διακριτικὴ ἰδιότης τῶν ἐν τῷ Κοντακαρίῳ τούτῳ Κοντακίων ἐστὶν ἡ ἁπλότης, ἔσθ' ὅτε λίαν κατανυκτική. Σημειωτέον δέ, ὅτι ἐν τοῖς νῦν Μηναίοις ὑπάρχουσι μόνον ἓν Κοντάκιον καὶ εἷς Οἶκος ἐκ τῶν ἐν τῷ Κοντακαρίῳ ὕμνων τοῦ Ρωμανοῦ καὶ ἄνευ τοῦ ὀνόματος τοῦ ποιητοῦ. Πιθανόν, ὅτι τὰ ἄλλα Κοντάκια παρελείφθησαν, ὅτε εἰσήχθησαν εἰς τὴν ἐκκλησιαστικὴν Ἀκολουθίαν οἱ κανόνες. Οἱ ἄριστοι τῶν ὕμνων τοῦ Ρωμανοῦ εἰσὶ τὸ γνωστὸν Κοντάκιον εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ καὶ τὰ στιχηρὰ προσόμοια εἰς τὰ προεόρτια αὐτῆς: Αἱ ἀγγελικαὶ προπορεύεσθε Δυνάμεις κ. τ. λ. Ὀλίγα στιχηρὰ δυνατὸν εὑρεῖν ἴσα τοῖς ὕμνοις τούτοις κατά τε τὸ ὕψος τῶν ἐννοιῶν καὶ τὴν ἱερὰν ἐμψύχωσιν.

§. 230. Ἐφραίμιος ὁ Ἀντιοχείας Πατριάρχης.

Ὁ Ἐφραίμιος ἐγένετο τὸ μὲν πρῶτον ἔπαρχος τῆς Ἀνατο-

λῆς, ἔπειτα δὲ (ἀπὸ τοῦ 526-546) Πατριάρχης Ἀντιοχείας. Ἔπαρχος ὤν, ἐκτήσατο ἕνεκα τῆς περὶ τῆς εὐημερίας τῶν ὑφ' ἑαυτῶν χριστιανικῆς αὐτοῦ μερίμνης τὴν γενικὴν ἀγάπην, ἣ ἀνεβίβασεν αὐτὸν μετὰ τὸν θάνατον τοῦ ὑπὸ σεισμοῦ καταχωσθέντος Πατριάρχου Εὐφρασίου ἐπὶ τὸν πατριαρχικὸν θρόνον. Ὑπὸ τοῦ ὑπὲρ τῆς ὀρθοδοξίας ζήλου παρορμώμενος εἰσεκάλεσεν εἰς δίκην τὸν ἐπίσκοπον Ταρσοῦ Συγκλητικόν, ᾧ ἐνεκάλουν εὐτυχιανισμόν· ἀλλ' ἡ δικαία αὐτοῦ ἀγάπη ὑπερήσπισε καὶ ἠθώωσε τὸν κατηγορούμενον (1). Τῷ 535 μετεπέμψατο εἰς Κωνσταντινούπολιν τὸν Π. Ρώμης Ἀγαπητόν, ἵνα δικάσωσι τὸν Σεβῆρον(2). Κατὰ δὲ τὸ ἐπιὸν ἔτος μετέβη εἰς Ἱερουσαλὴμ ὅπως δικάσωσι τὸν Ἀλεξανδρείας ἐπίσκοπον Παῦλον, καὶ ὑπέγραψε τῇ καταδίκῃ τῶν τοῦ Ὠριγένους δοξασιῶν, οὐκ ὀλίγον ταραξασῶν τότε τὰ μοναστήρια (3). Ὁ ἅγιος Πατριάρχης ὑπερήσπιζε καὶ ἔργοις καὶ συγγράμμασι τὴν ὀρθοδοξίαν κατὰ τῶν Νεστοριανῶν καὶ τῶν Εὐτυχιανῶν. Κατὰ τὴν μαρτυρίαν Ἰωάννου τοῦ Μόσχου, ὅπως πείσῃ Στυλίτην τινά, ὀπαδὸν τοῦ Σεβήρου, δέξασθαι τὴν ὀρθοδοξίαν, ἀποδυσάμενος, ὃ ἔφερεν ὠμοφόριον, ἔρριψεν αὐτό, κατ' αἴτησιν τοῦ Στυλίτου, εἰς μέσον τοῦ πυρός, καὶ ἔλαβεν αὐτὸ σῶον, ἀβλαβές, καὶ ἀκέραιον (4). «Φασὶ δὲ αὐτόν, λέγει ὁ Π. Φώτιος, τά τε ἄλλα ἐπαίνων ἄξια διαβιῶναι, καὶ πολὺν τῆς ἐλεημοσύνης ἐργάτην γενέσθαι» (5). Ἡ ς'. Οἰκουμενικὴ Σύνοδος ἀπεφήνατο μετ' ἐγκωμίων περὶ τοῦ ποιμένος τῆς Ἀντιοχείας (6). Ὁ κατὰ τὸν ζ'. αἰῶνα ἀκμάσας πρεσβύτερος Ἀναστάσιος καλεῖ αὐτὸν ἁγιώτατον ἐπίσκοπον (7).

Ὁ σοφώτατος Φώτιος γράφει περὶ αὐτοῦ: «Σύρος μὲν γεγονὼς καὶ φωνῆς καὶ γενεᾶς, παιδευθεὶς δὲ καὶ τὴν ἕλληνα γλῶσσαν οὐκ ἀγενῶς ἀλλὰ καὶ πολιτικὰς οὐκ ὀλίγας μεταχειρισάμενος ἀρχάς . . . Συνέταξε μὲν οὖν ὁ ἀνὴρ διαφόρους βίβλους, ὧν

(1) Εὐάγρ. Ἐκκλ. ἱστορ. δ' 6.

(2) Asseman. B. O. II. p. 320, 321.

(3) Κύριλλος ἐν τῇ περιγραφῇ τοῦ βίου τοῦ ἁγίου Σάββα.

(4) Λειμων. κεφ. 36.

(5) Ἀναγν. σκη'.

(6) Πρ. ι'.

(7) Ap. Maiun Collect. V. Auct. T. VII. p. 204. Ἡ μνήμη αὐτοῦ τῇ η' Ἰουνίου.

εἰς ἡμᾶς τέως τρεῖς περιῆλθον. Σχεδὸν δέ τι αὐτοῦ πάντες, οὓς τεθεάμεθα πόνους, ὑπὲρ τῶν τῆς Ἐκκλησίας σπουδάζουσι δογμάτων, καὶ τοῦ παραστῆσαι τὴν κατὰ Χαλκηδόνα ἁγίαν Σύνοδον πάσης λαβῆς αἱρετικῆς ὑπερκειμένην καὶ ἐπικρατοῦσαν». Ἐπὶ δὲ τούτοις ποιεῖται μακρὰν ἐξέτασιν τῶν δύο πρώτων βιβλίων τῶν ὑπὸ τοῦ σοφοῦ Ποιμένος συγγραφέντων ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου καὶ κατ' ἐξοχὴν ὑπὲρ τῆς ἐπιστολῆς τοῦ Λέοντος. Ἐν τῷ πρώτῳ αὐτῶν περιείχοντο δώδεκα ἐπιστολαὶ τοῦ μακαρίου Ἐφραιμίου. Ἐν τῇ ἐπιστολῇ πρὸς Ζηνόβιόν τινα Σχολαστικὸν ὑπερασπίζει τὴν ἐπιστολὴν τοῦ Λέοντος, ὑπὸ τοῦ αἱρετικοῦ τούτου κατακριθεῖσαν. Ἐκ τῆς ἀπολογίας ταύτης περιῆλθεν εἰς ἡμᾶς τεμάχιον, ἐκδοθὲν ὑπὸ τοῦ Μαΐου (1). Ἐν τῇ ἐπιστολῇ πρὸς τοὺς ἀποσχίστας Καλλινίκου ἔγραψεν, ὅτι τὰ παρὰ ταύτην (τὴν τοῦ Θεοῦ Ἐκκλησίαν) συνακτήρια ληστῶν ἐστι σπήλαια (Φωτ. ἀναγν. σκη'.) Ἐν τῷ αὐτῷ πρώτῳ βιβλίῳ περιείχοντο ἑπτὰ πανηγυρικοὶ λόγοι, ὁ μὲν εἰς τὰ ἐγκαίνια τοῦ ναοῦ τῶν ἁγίων προφητῶν ὁ δὲ εἰς τὰ Γενέθλια τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἕτερος δὲ πρὸ τῶν ἁγίων νηστειῶν, καὶ ἄλλος εἰς τὴν κατήχησιν τῶν νεοφωτίστων, καὶ δὴ καὶ εἰς τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν Δάφνῃ, καὶ εἰς τὴν ἁγίαν Τεσσαρακοστήν, καὶ ἐν μιᾷ τῆς ἁγίας Τεσσαρακοστῆς ἐνάτῃ. Ἀλλὰ καὶ ἐπὶ τούτοις ὄγδοος ὁ ἐν τῇ ἁγίᾳ Τετράδι λεχθεὶς εἰς τοὺς νεοφωτίστους (Ἀναγν. σκη'.). Ἐν τῷ δευτέρῳ βιβλίῳ ὑπῆρχον τέσσερες λόγοι, ὧν ἐν μὲν τῷ α' τῷ γ' καὶ τῷ δ', ἀνεσκεύαζε τὰς κατὰ τοῦ ἁγίου Κυρίλλου κατηγορίας τῶν Νεστοριανῶν καὶ τῶν Εὐτυχιανῶν, καὶ κατ' ἐξοχὴν τῶν Σεβηριανῶν καὶ Θεοπασχιτῶν, ἐν δὲ τῷ β' ἔλυε πέντε τινὰς ἐρωτήσεις [β]: α') καὶ νῦν Χριστὸς ὁ Θεὸς ἡμῶν σαρκὶ γνωρίζεται (Β'. Κορινθ. ε'. 6); β') εἰ σύνθετος ὁ Ἀδὰμ ἐπλάσθη, πῶς ἀθάνατος ἐκτίσθη; γ') πόθεν δυνάμεθα τεκμήρεσθαι τὸν Εὐαγγελιστὴν Ἰωάννην ἔτι μένειν (Ἰωάν. κα' 22); δ') εἰ ἀθάνατος ὁ Ἀδὰμ ἐπλάσθη, πῶς τὸ συμφέρον ἠγνόησε; ε') Τί ἐστι τὸ ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν(2);

(1) Bibl. Nov. T. IV. 63.

[β] Τῶν ἐρωτήσεων τούτων τὴν λύσιν ἐπεζήτησε, κατὰ τὸν ἱερώτατον Φώτιον, Σχολαστικός τις, Ἀνατόλιος ὀνομαζόμενος. Σ. Μ.

(2) Φωτ. ἀνάγν. σκθ'.

Ὁ Ποιμὴν τῆς Ἀντιοχείας ἔγραψεν ἔτι α΄) λόγους κατὰ Σεβήρου, καὶ β΄) λόγον εἰς τὸν μαργαρίτην κατὰ Μαρκίωνος. Οἱ λόγοι οὗτοί εἰσι νῦν γνωστοὶ ἔκ τινων τεμαχίων.

§. 231. Ἰωάννης ὁ τῆς Κλίμακος· α΄) ἐν τῷ βίῳ

Ἰωάννης, ὁ ὅσιος πατὴρ ἡμῶν, διὰ μὲν τὸ βιβλίον, ὅπερ συνέγραψεν, ὁ τῆς Κλίμακος, διὰ δὲ τὴν παιδείαν αὐτοῦ Σχολαστικός (1), ἐπονομαζόμενος, ἐγεννήθη, ὡς πιθανόν, ἐν Κωνσταντινουπόλει (2). Ἑκκαίδεκα ἔτη γεγονώς, εἶπε χαίρειν τῇ κοσμικῇ δόξῃ, ἣν ὑπισχνοῦντο αὐτῷ τά τε πνευματικὰ χαρίσματα καὶ ἡ ἔξοχος αὐτοῦ παιδεία. Ἐπὶ τοῦ Σιναίου ὄρους παρέδωκεν ἑαυτὸν τῷ γέροντι Μαρτυρίῳ, οὗ τὰς πατρικὰς συμβουλὰς ἀπεδέχετο μετ' ἄκρας εὐπειθείας. Μετὰ τέσσαρα ἔτη ἐδέξατο τὸ μοναχικὸν σχῆμα. Τηλικαύτη ἦν ἡ τῷ γέροντι αὐτοῦ ὑπακοή, ὥστε νομίζεσθαι ὑπὸ πολλῶν οὐκ ἔχειν ἰδίαν θέλησιν· τοῖς δ' ἀδελφοῖς ἐδείκνυτο ἁπλοῦς, ἄνθρωπος πάντη ἀμαθής, καίπερ πολυμαθέστατος ὤν (3). Ἐντεῦθεν τὴν ἡμέραν, καθ' ἣν ἐκουρεύσατο μοναχός, ἡ πνευματικὴ διορατικότης ἔδειξεν ἐν αὐτῷ τὸν μέλλοντα μέγαν φωστῆρα τῆς Ἐκκλησίας(4).

(1) Ὁ βίος αὐτοῦ συνεγράφη ὑπὸ Δανιὴλ μοναχοῦ Ραϊθηνοῦ, καὶ ὑπό τινος τῶν μαθητῶν αὐτοῦ, ἀγνώστου τ' ὄνομα.

(2) Αὕτη ἡ ὁμολογία τοῦ Δανιήλ, ὅτι οὐκ εἶχεν εἰπεῖν τίς ἡ ἐνεγκαμένη καὶ ἐκθρέψασα τὸν ὅσιον πόλις, δείκνυσι τὸ μὴ ὀρθὸν τῆς γνώμης τοῦ Βουτλερόβου (Leben d. Heilig. 30 Mar.), ὅτι δῆθεν ὁ Ἰωάννης ἐγεννήθη ἐν Παλαιστίνῃ. Τοὐναντίον δ' ἥ τε ὁμολογία κατοίκου τῆς Παλαιστίνης καὶ ἡ παίδευσις τοῦ ὁσίου καθιστᾶσιν ἀποδεκτὴν τὴν γνώμην, ὅτι αὐτός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ Γεώργιος ἦσαν τέκνα τῶν εὐσεβῶν Κωνσταντινουπολιτῶν Ξενοφῶντος καὶ Μαρίας, περὶ ὧν ποιεῖται λόγον ὁ ἅγ. Δημήτριος ὁ Ροστοβίας ἐν τῷ Μην. αὐτοῦ Ἰανουαρ. κς΄.

(3) Ἠλίας ὁ Κρήτης Μητροπολίτης, ὃς ἔγραψεν ἐγκώμιον εἰς αὐτὸν καὶ τὴν τῆς Κλίμακος βιβλίον σχολίοις διεσάφησε, λέγει: « Καίτοι γε τὴν ἀνθρωπίνην πᾶσαν σοφίαν ἀκριβῶς ὁ τρισόλβιος οὗτος Πατὴρ ἠσκημένος, κατὰ ἰδιώτας, ὡς ἄγροικος δηλαδὴ καὶ ἀπαίδευτος ἐβιότευε, ταπεινῶν ἑαυτὸν διὰ τὸν Θεόν ».

(4) Ὁ ἄγνωστος βιογράφος γράφει: « Ἀλλὰ καὶ ὁ Ἀββᾶς Στρατήγιος τὴν ἡμέραν, ἐν ᾗ ἐκουρεύσατο ὁ Ἀββᾶς Ἰωάννης, εἴκοσιν ἐτῶν ὑπάρχων, προείρηκε περὶ αὐτοῦ, ὅτι μέγας ἀ-

Τελευτήσαντος δὲ τοῦ Γέροντος, μεθ' οὗ ἔζησε δέκα ἐννέα ἔτη, ἐξέρχεται μετὰ χεῖρας, οἷα ὅπλα δυνατὰ πρὸς καθαίρεσιν ὀχυρωμάτων, τὰς αὐτοῦ φέρων εὐχάς, ἐπὶ τὸ τῆς ἡσυχίας στάδιον. Ἵνα δὲ μὴ περιπέσῃ ἀπάτῃ, ᾐτήσατο πρότερον τὴν συμβουλὴν τοῦ ἁγίου γέροντος Γεωργίου τοῦ Ἀρσελαΐτου (1). Πιθανόν, ὅτι κατὰ τοῦτον τὸν χρόνον μετέβη καὶ εἰς τὴν ἔρημον τῆς Σκήτεως καὶ εἰς τὸ μοναστήριον τῶν Ταβεννῶν, ἵνα συλλέξῃ εἰδήσεις πνευματικῆς πείρας(2). Ὁ τόπος, ὃν ἐξελέξατο, ὅπως ζήσῃ μόνος, ἦν ἡ ἔρημος Θωλᾶς, κειμένη ἐν τῇ παρὰ τὴν ὑπώρειαν τοῦ Σινᾶ κοιλάδι. Ἐντεῦθεν μετέβαινε κατὰ πᾶν Σάββατον καὶ κατὰ πᾶσαν Κυριακὴν εἰς τὸν ναὸν τοῦ Σινᾶ, ἀκροασόμενος τῆς θείας λειτουργίας καὶ μεταληψόμενος τῶν ἀχράντων μυστηρίων. Ἡ κέλλα αὐτοῦ ἀπεῖχε τοῦ ναοῦ περὶ τὰς δύο ὥρας. Ὁ τρόπος τοῦ βίου αὐτοῦ διέπρεπεν ἐξόχως ἐπὶ μετριότητι· ἤσθιε μὲν ἐκ πάντων τῶν μὴ ὑπὸ τῶν κανόνων ἀπαγορευομένων, βραχὺ δὲ λίαν καὶ οὐκ εἰς κόρον· ὕπνου δέ, κατὰ τὸν βιογράφον αὐτοῦ Δανιὴλ μετελάγχανε τοσοῦτον, ὅσον τὴν τοῦ νοῦ οὐσίαν καὶ μόνον τῇ ἀγρυπνίᾳ μὴ λημήνασθαι. «Οὐ νενήστευκα, λέγει αὐτὸς ὁ ὅσιος, οὐκ ἠγρύπνηκα, οὐ κεχαμεύνηκα, ἀλλ' ἐταπεινώθην, καὶ ἔσωσέ με συντόμως ὁ Κύριος» (3). Ὅτε οὐ προσηύχετο, ἠσχολεῖτο περὶ τὴν ἀνάγνωσιν καὶ τὴν ἀντιγραφὴν βιβλίων. Ἵνα ὦσιν ἧττον γνωστοὶ οἱ ἀγῶνες αὐτοῦ, μετέβαινεν ἔστιν ὅτε εἰς σπήλαιον, ἔνθα παρεδίδετο ἡ ψυχὴ αὐτοῦ ὅλη θερμαῖς προσευχαῖς. Ὅτε ἦν μετὰ τῶν ἀδελφῶν, διελέγετο πρὸς αὐτοὺς προθύμως. Ἐκ τούτου δέ τινες φθόνῳ νυττόμενοι, ἀπεκάλουν αὐτὸν ἀείλαλον καὶ φλήναφον. Ἐντεῦθεν ἔγνω πρὸς οὐδένα διαλέγεσθαι. Ἐπειδὴ διετέλεσεν ἐπὶ ὅλον ἔτος σιωπῶν, οἱ σκανδαλίσαντες ἔλεγον πηγὴν ἀέναον ὠφελείας ἀποπεφράχθαι καὶ τὴν τῶν ὅλων

στὴρ γενήσεται». Κατὰ τὸν αὐτὸν βιογράφον Ἀναστάσιος ὁ Σιναΐτης καὶ Ἰωάννης ὁ Σαββαΐτης εἶπον τῷ Ἀββᾷ Μαρτυρίῳ, ὅτι ἡγούμενον τοῦ Σινᾶ . . . Ὁ Ἀββᾶς Μαρτύριος ἦν κατὰ Ἰωάννην τὸν Μόσχον, Ἀββᾶς τῆς Μονῆς τοῦ ὁσίου Θεοδοσίου. Ὁ δὲ μαθητὴς Ἰωάννου τοῦ Σιναΐτου καὶ μάρτυς τῆς προρρήσεως Στέφανος ἐγένετο Ἀββᾶς τοῦ ἁγίου Σάββα Λειμων. κεφ. ργ΄. νδ΄. σξ΄.).

(1) Λόγ κζ΄.

(2) Λόγ. κζ΄. 4. 5.

(3) Λόγ. κε΄.

σωτηρίαν λυμήνασθαι. Διατρίψας τεσσαράκοντα ἔτη ὁ Ὅσιος ἐν τῇ ἐρήμῳ, ἐξελέγη ὑφ' ἁπάντων τῶν ἀδελφῶν Ἡγούμενος τῆς μονῆς τοῦ Σινᾶ. Οὐ πολλοῦ χρόνου παρελθόντος, ἐγένετο κατὰ τὴν Παλαιστίνην καὶ τὴν Ἀραβίαν αὐχμός. Παρακληθεὶς ὑπὸ τῶν περιοίκων, προσηύξατο, καὶ πλούσιος ὑετὸς κατηνέχθη. Ποιμάνας δὲ τὸ πνευματικὸν τοῦ Σινᾶ ποίμνιον ἐπὶ τέσσαρα ἔτη, ἐπανῆλθεν αὖθις εἰς τὴν ἔρημον οὐ πολὺ πρὸ τοῦ θανάτου αὐτοῦ (1), ἐπιγενομένου τῷ ὀγδοηκοστῷ τοῦ ὁσίου αὐτοῦ ἔτει, ἤτοι τῷ 563 (2).

§. 232. β') Ἐν τῇ Κλίμακι.

Κατὰ παράκλησιν τοῦ Ἰωάννου Ἡγουμένου τῆς Ραϊθοῦς συνέγραψεν ὁ ὅσιος Ἰωάννης ὁ Σιναΐτης τὴν Κλίμακα, διαγράψας ἐν λ' βαθμίσι τοὺς βαθμοὺς τῆς πνευματικῆς ἀναβάσεως εἰς τὴν τελειότητα, καὶ τὸ πρὸς τὸν Ποιμένα βιβλίον, ἐν ᾧ ἐκτίθησι τὰ καθήκοντα τοῦ πνευματικοῦ ποιμένος (3).

» Ὑπεδεξάμην ὡς πρέπουσαν τῷ σεμνῷ σου καὶ ἀπαθεῖ βίῳ καὶ τῇ καθαρᾷ καὶ τεταπεινωμένῃ σου καρδίᾳ, ἔγραψε πρὸς τὸν ἡγούμενον, ἥν περ πρὸς ἡμᾶς τοὺς πτωχοὺς καὶ πένητας τῶν ἀρετῶν ἀπέσταλκας τιμίαν σου συλλαβήν, μᾶλλον δὲ ἐπιταγήν, καὶ ὑπὲρ τὴν ἡμετέραν ἰσχὺν κέλευσιν. Σὸν γὰρ ἦν ὄντως, σόν, καὶ τῆς σῆς ἱερᾶς ψυχῆς ἴδιον, τὸ παρ' ἡμῶν τῶν ἀπαιδεύτων, καὶ λόγῳ καὶ ἔργῳ ἀμαθῶν, διδασκαλίας καὶ νουθεσίας λόγον αἰτήσασθαι. Σεσυνήθικε γὰρ ἀεὶ ἡμῖν δι' ἑαυτῆς τύπον ταπεινοφροσύνης ὑποδεικνύειν. Πλὴν νῦν κἀγὼ ἐκεῖνο ἐρῶ, ὡς, εἰ μὴ φόβος καὶ πολὺς ὁ κίνδυνος, τῆς μητρὸς πασῶν τῶν ἀρετῶν ὑπακοῆς τῆς ὁσίας τὸν ζυγὸν ἐξ ἑαυ-

(1) Δαν. καὶ ἄγν. βιογρ.

(2) Κατὰ τὸν ἄγνωστον βιογράφον, ὁ ὅσιος Ἰωάννης εἶπεν ὀλίγον πρὸ τοῦ θανάτου αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ Ἀββᾷ Γεωργίῳ, ὃς μετ' αὐτὸν ἐγένετο ἡγούμενος τῆς Μονῆς, ὅτι οὐκ ἐάσει αὐτὸν τελειῶσαι ἐνιαυτὸν ὄπισθεν αὐτοῦ, ὅπερ καὶ ἐγένετο, διότι μετὰ δέκα μῆνας ἐξεδήμησε καὶ αὐτὸς πρὸς Κύριον. Περὶ τῶν λειψάνων τοῦ ὁσίου Ἰωάννου ἐν τῇ Μονῇ τοῦ Σινᾶ βλ. Ἐπιφαν. Μοναχὸν (Epiphan. monachi edit. atque ined. p. 7. Lipsiæ, 1843.). Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ λ'. Μαρτίου καὶ τῇ Δ'. Κυρ. τῆς Μ. Τεσσαρακοστῆς.

(3) Ἀμφότερα τὰ συγγράμματα ταῦτα ἐξεδόθ. ἑλλην. καὶ λατιν. ὑπὸ Ραδέου. S. Johannis Climaci Op. Paris 1631.

τῶν ἀπορρίψασθαι ἐπῆρτο, οὐκ ἂν ἀλόγως ἐν τοῖς ὑπὲρ δύναμιν κατετολμήσαμεν. Ἔδει γάρ σε, ὦ θαυμάσιε Πάτερ, ἔδει ταῦτα πειθόμενον [πυθόμενον] παρὰ τῶν εὖ εἰδότων μαθεῖν· ἡμεῖς γὰρ ἐν τῇ τῶν μαθητευομένων τάξει καθεστήκαμεν. Ἀλλ' ἐπειδὴ τοῦτο οἱ καθ' ἡμᾶς θεοφόροι καὶ τῆς ὄντως γνώσεως μύσται ὑπακοὴν ὁρίζονται ἐν τοῖς ὑπὲρ δύναμιν ἀδιστάκτως τοῖς προστάττουσι πείθεσθαι, ἰδοὺ τὰ καθ' ἑαυτοὺς περιϊδόντες εὐσεβῶς ἐν τοῖς ὑπὲρ ἑαυτοὺς ταπεινῶς τὴν ἐγχείρησιν πεποιήκαμεν· οὐχ ὥς τί σοι χρησιμεῦσον, ἢ δηλοῦν ἐκεῖνο, ὅπερ καὶ σὺ οἶσθα οὐχ' ἧττον ἡμῶν, ὦ ἱερὰ κορυφή. . . . . ἀλλὰ τὸν ἐκ τῆς παρακοῆς θάνατον ἐκδειματούμενος, καὶ ὑπ' αὐτοῦ ὥσπερ εἰς ὑπακοὴν συνωθούμενος, πρὸς τὴν πανόσιόν σου κέλευσιν φόβῳ καὶ πόθῳ ἐλήλυθα, ὡς εὐγνώμων ὑπήκοος καὶ παῖς ἀχρεῖος ζωγράφου ἀρίστου, τῇ μὲν ψιλῇ ἡμῶν καὶ ἐξιτήλῳ γνώσει καὶ τῇ ἰσχνοφόνῳ προφορᾷ διὰ μέλανος μόνου μονοειδῶς τὰ ζῶντα ἐσκιακότες μόνον λόγια. Σὺ δὲ λοιπόν, ὦ διδασκάλων ἔξαρχε καὶ ταξίαρχα, καταλελοιπὼς ἐπικαλλωπίσαι καὶ τρανῶσαι, καὶ τὰ ἐλλείποντα, ὡς πληρωθῇ πλακῶν καὶ νόμου πνευματικοῦ ἀναπληρῶσαι. Οὐ σοὶ δέ, οὐδ' αὐτὴν ἡμῶν τὴν ἐγχείρησιν ἐπέστειλα (Ἄπαγε ! τοῦτο γὰρ ἐσχάτης εὐηθείας ἂν εἴη τεκμήριον· ἱκανοῖς γὰρ ἐν Κυρίῳ οὐχ ἑτέρους μόνον, ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς ἐν τοῖς θείοις ἐμπεδοῦν εἴθεσί τε καὶ διδάγμασιν), ἀλλὰ τὴν σὺν ἡμῖν παρὰ σοί, ὦ κρατίστων διδασκάλων κράτιστε, μαθητευομένῃ θεοκλήτῳ συνοδίᾳ, ἧς καὶ σοῦ δὲ ταῖς εὐχαῖς ὥσπερ νοεραῖς τισιν ἐλπίσι τῆς ἀμαθίας κουφιζόμενος, τὸ τοῦ καλάμου ἱστίον τετανυκώς, τῷ καλῷ ὑμῶν συγκυβερνήτῃ τὸν τοῦ ἡμετέρου λόγου οἴακα μετὰ χεῖρας δεδωκώς, σὺν ἱκεσίᾳ πάσῃ τούτου πρὸς αὐτοὺς δι' ὑμῶν ἀπέρχομαι, αἰτῶν τοὺς ἐντυγχάνοντας ἅπαντας, εἴ τίς τι ἐν τούτῳ ὀνησιφόρον θεάσοιτο, τούτου τὸν καρπὸν τῷ ἀρίστῳ ἡμῶν ἐπιστάτῃ, ὡς εὐγνώμων, λογίσοιτο . . .»

Ἐν τοῖς λόγοις τούτοις ὁρᾶται τό τε πνεῦμα καὶ ἡ ἀξία τοῦ συγγράματος. Τὸν διακριτικὸν τῆς Κλίμακος χαρακτῆρα συνίστησιν ἡ βαθεῖα πνευματικὴ πεῖρα, ἥτις καθορᾶται καὶ ἐν ἑκάστῃ μερικῇ ἐννοίᾳ. Ταύτῃ ἥνωται βαθεῖα γνῶσις τῆς ἁγίας Γραφῆς. Σπανίως ἐκφέρει ὁ τῆς Κλίμακος συγγραφεὺς ἔννοιαν μὴ διαφωτίσας αὐτὴν ἐμμέσως

ἢ ἀμέσως ῥήσει τῆς ἁγίας Γραφῆς. Τὸ σύγγραμμα ἐγράφη ἐν γλώσσῃ ἁπλῇ μὲν, ἀλλὰ καθαρᾷ καὶ ζωηρᾷ, ἐν τῇ γλώσσῃ ἐκείνῃ, ἐν ᾗ ἐκφράζεται ἡ καθαρὰ καρδία, πᾶσαν ἔννοιαν βαθέως αἰσθανομένη. Ἐν ὀλίγαις λέξεσιν ἐκτίθησι πολλά, καὶ διὰ τοῦτο μεστὰ δυνάμεως(ϐ). Ἡ τελευταία αὕτη ἰδιότης τοῦ συγγράμματος, ὡς καὶ τὸ βάθος τῶν ἐννοιῶν παρώρμησαν Ἰωάννην τὸν Ἡγούμενον τῆς Ραϊθοῦς, Ἡλίαν τὸν Κρήτης Μητροπολίτην († 787), ζήσαντα οὐ πολὺν χρόνον μετὰ τὸν Φώτιον([1]), καὶ ἄλλους γράψαι σχόλια εἰς τὴν Κλίμακα. Ἡ τοῦ ἁγίου Ἰωάννου Κλίμαξ ἦν ἀείποτε τοῖς ἐν κοινοβίοις βιοῦσι μοναχοῖς ἐπιτραπέζιος βίβλος. Οἱ τοῦ μοναχικοῦ βίου Πατέρες, Θεόδωρος ὁ Στουδίτης, Ἰωσὴφ ὁ Βολοκολάμσκιϊ καὶ ἄλλοι πολλάκις παρέπεμπον ἐν ταῖς διδασκαλίαις αὐτῶν εἰς τὴν Κλίμακα ὡς τὴν ἀρίστην τῶν μοναχικῶν βίβλων. Εἰς τὴν σλαβονικὴν γλῶσ. μετεφράσθη κατὰ τοὺς πρώτους χρόνους τοῦ χριστιανισμοῦ μεταξὺ τῶν Σλάβων.

Ἀρχὴ μὲν τοῦ πνευματικοῦ βίου θεωρεῖται ὑπὸ τοῦ τῆς Κλίμακος Συγγραφέως ἡ τοῦ ματαίου βίου ἀποταγή, ὑψίστη δὲ τελειότης ἡ ἀγάπη.

Ὅπως λάβωμεν ἔννοιάν τινα τῶν λόγων τοῦ ἱεροῦ ἀνδρός, ἀκούσωμεν τὸν περὶ κενοδοξίας λόγον αὐτοῦ.

«. . Πᾶσιν ἀφθόνως λάμπει ὁ ἥλιος, καὶ πᾶσιν ἐπιτηδεύμασιν ἐπιχαίρει κενοδοξία· Οἷον τί λέγω, νηστεύων κενοδοξῶ, καὶ καταλύων, ἵνα μὴ γνωσθῶ, ὡς φρόνιμος πάλιν κενοδοξῶ. Λαμπρὰ περιβεβλημένος, ἡττῶμαι ταύτῃ, καὶ εὐτελῆ ἐξαλάσσων, πάλιν κενοδοξῶ· λαλῶν ἡττῶμαι, καὶ σιωπῶν πάλιν ἡττήθην. Ὡς ἂν ῥίψῃς

(ϐ) «Οὐδὲ τῆς ἐκ τῶν λόγων καλλονῆς, λέγει ὁ κλεινὸς Οἰκονόμος, ἡ Κλίμαξ ἀμοιρεῖ, ἡ δὲ φράσις ἀποφθεγματική, πολὺν ἐν ὀλίγοις καὶ σφυρήλατον ἔχουσα τὸν νοῦν (περὶ τῶν Ο, ἑρμην. βιβλ. Δ΄. κεφ. ε΄. σελ 707.). Σ. Μ.

([1]) Βλ. Fabric. Bibl. Gr. T. IX. p. 522. ed. Harlensii. Ἡ Κλίμαξ μετὰ τῶν σχολίων Ἠλία τοῦ Κρήτης ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας Cod. 200 saec XI. cod. 300 sæc. X. Ἡ ἑρμηνεία τοῦ μοναχοῦ Ἱεροθέου ἐν τῇ Βιβλιοθ. τῆς Βιέννης Lamb. IV. 192. Διάφοροι ἑρμηνεῖαι in Biblioth. Coislin. Montfaucon. p. 141. 305. 306. Τὰ σχόλια Ἠλία τοῦ Κρήτης καὶ ἄλλων ἐξεδόθησαν ὑπὸ Ραδέρου μετὰ τῆς Κλίμακος καὶ in. T. X. Bibl. Patrum. Lugduni.

ταύτην τὴν τρίβολον, ὀρθὸν τὸ κέντρον ἵσταται. Κενόδοξός ἐστιν εἰδολολάτρης πιστός, Θεὸν μὲν τὸ δοκεῖν σεβόμενος, ἀνθρώποις δὲ καὶ οὐ Θεῷ ἀρέσκειν βουλόμενος. Κενόδοξός ἐστι πᾶς φιλενδείκτης· κενοδόξου νηστεία ἄμισθος, καὶ προσευχὴ ἄκαιρος. δι᾽ ἔπαινον γὰρ ἀνθρώπων ἀμφότερα ἐργάζεται· κενόδοξος ἀσκητὴς ἀδικεῖται διπλῶς, καὶ τὸ σῶμα κατατήκων, καὶ μισθὸν μὴ λαμβάνων· τίς μὴ γελάσῃ τὸν τῆς κενοδοξίας ἐργάτην, ἐν ταῖς ψαλμῳδίαις ἱστάμενον, καὶ ὑπὸ ταύτης κινούμενον; Ποτὲ μὲν γελᾷν, ποτὲ δὲ ἐπὶ πάντων κλαίειν παρασκευάζει. Κρύπτει Κύριος ἐξ ὀφθαλμῶν ἡμῶν πολλάκις καὶ ἅπερ κεκτήμεθα καλά. Ἀνὴρ δὲ ἐπαινέτης, μᾶλλον δὲ πλανήτης, διὰ τοῦ ἐπαίνου τοὺς ὀφθαλμοὺς ἡμῶν ἀνέῳξε. Τούτων δὲ ἀνοιγέντων, ἄφαντος ὁ πλοῦτος ἐγένετο ἀφ᾽ ἡμῶν· κολακευτής ἐστι δαιμόνων διάκονος, ὑπερηφανίας χειραγωγός, κατανύξεως ἐξολοθρευτής, καλῶν ἀφανιστής, πλάνος ὁδοῦ. Οἱ γὰρ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, φησιν ὁ προφήτης (Ἡσ. γ΄. 12). Ὑψηλῶν μὲν τὸ ὑπενεγκεῖν γενναίως καὶ ἀσμένως ὕβριν. Ἁγίων δὲ καὶ ὁσίων τὸ ἀβλαβῶς παρελθεῖν τὸν ἔπαινον. Εἶδον πενθοῦντας ἐπαινεθέντας, καὶ εἰς ὀργὴν ἐξαφθέντας, καὶ ὡς ἐν πανηγύρει πάθος συναλλάξαντας. Οὐδεὶς γινώσκει τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου (Α΄. Κορινθ. β΄. 16) .... Ὅταν ἀκούσῃς ὅτι ὁ πλησίον σου καὶ ὁ φίλος ἐλοιδόρησέ σε ἀπόντα ἢ παρόντα, τότε τὴν ἀγάπην ἔνδειξαι ἐπαινέσας αὐτόν· μέγα τὸ ἀποσείσασθαι ἐκ τῆς ψυχῆς ἔπαινον ἀνθρώπων, μεῖζον δὲ ἔπαινον δαιμόνων. Ταπεινοφροσύνην ἔδειξεν οὐχὶ ἑαυτὸν εὐτελίζων (πῶς γὰρ ἑαυτὸν οὐ βαστάσει ;) , ἀλλ᾽ ὁ παρ᾽ ἑτέρου ὀνειδισθεὶς καὶ τὴν ἀγάπην αὐτοῦ μὴ μειώσας. Ὁ ἐπὶ φυσικοῖς πλεονεκτήμασι, λέγω δὴ ἀγχινοίᾳ, εὐμαθείᾳ, ἀναγνώσει, προφορᾷ, εὐφυΐᾳ, καὶ τοῖς τοιούτοις πᾶσι τοῖς ἀπόνως προσοῦσιν ἡμῖν ἐπαιρόμενος, οὐδέποτε τῶν ὑπὲρ φύσιν ἀγαθῶν ἐντεύξεται. Ὁ γὰρ ἐν ὀλίγῳ ἄπιστος (Λουκ. ις΄. 10), καὶ ἐν πολλῷ ἄπιστος καὶ κενόδοξος· δι᾽ ἀπάθειαν ἀκροτάτην, καὶ πλοῦτον χαρισμάτων, καὶ θαυμάτων ἐνέργειαν, καὶ προγνώσεως δύναμιν, τινὲς τὰ ἑαυτῶν σώματα εἰκῇ κατατρίβουσι, λαθόντες οἱ τάλανες, ὡς οὐ πόνοι, ἀλλὰ μᾶλλον ταπείνωσις τῶν τοιούτων μήτηρ καθέστηκε . . . Ἀρχὴ ἀκενοδοξίας φυλακὴ στόματος καὶ ἀτι-

μίας ἀγάπη· μεσότης δὲ ἀνακοπὴ πάντων τῶν νοουμένων τῆς κενοδοξίας ἐπιτηδευμάτων· τέλος δὲ (εἴπερ ἄρα καὶ ἔστι τῇ ἀβύσσῳ τέλος) τὸ τὰ πρὸς ἀτιμίαν συντελοῦντα ἐπὶ πλήθους ἐπιτηδεύειν ἀνεπαισθήτως. Μὴ κρύπτε τὴν αἰσχύνην διὰ τὸ δοκεῖν μὴ διδόναι πρόσκομμα· λοιπὸν δὲ καὶ πρὸς τὸ εἶδος τοῦ σφάλματος οὐ τῇ αὐτῇ ἐμπλάστρῳ ἴσως χρήσασθαι χρή. Ὁπόταν ἡμεῖς τὴν δόξαν προσκαλούμεθα, καὶ ὅταν ἀκλήτως ὑφ᾽ἑτέρων πρὸς ἡμᾶς παραγίνηται. Ὅταν πρὸς κενοδοξίαν ἐπιτηδεύματά τινα ποιεῖν ἐπιχειρήσωμεν, τοῦ ἑαυτῶν πένθους μνημονεύσωμεν, καὶ τῆς ἐν τῇ ἰδιαζούσῃ ἡμῶν προσευχῇ ἐμφόβου παραστήσεως ἐννοηθῶμεν συντόμως, καὶ πάντως ἐντρέψωμεν τὴν ἀναιδῆ, εἴπερ ἄρα καὶ προσευχῆς ἀληθινῆς ἐπιμελούμεθα, εἰ δὲ οὐ, τῆς ἑαυτῶν ἐξόδου συντόμως ἔννοιαν λάβωμεν. Εἰ δὲ μή, κἂν τὴν ἐπακολουθοῦσαν αἰσχύνην τῇ κενοδοξίᾳ φοβηθῶμεν. Ὁ γὰρ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται πάντως, καὶ ἐνταῦθα πρὸ τοῦ μέλλοντος αἰῶνος· ὅταν οἱ ἐπαινέται, μᾶλλον δὲ πλανῆται ἐπαινεῖν ἡμᾶς ἄρξονται, τοῦ πλήθους τῶν ἀνομιῶν ἡμῶν κατὰ νοῦν συντόμως μνημονεύσωμεν, καὶ εὑρήσωμεν ἑαυτοὺς ἀναξίους τῶν λεγομένων ἢ πραττομένων . . . (1) .

§. 233. Ὁ Ἀββᾶς Βαρσανούφιος. Βίος αὐτοῦ.

Ὁ Βαρσανούφιος, ἦν τὸ γένος Αἰγύπτιος, ἀββᾶς Παλαιστινός, καὶ μέγας ἀσκητής. Ἀφικόμενος εἰς Παλαιστίνην πρὸς προσκύνησιν τῶν ἁγ. Τόπων, ἔμεινεν αὐτόθι τὸ μὲν πρῶτον παρὰ τῷ γέροντι Μαρκέλλῳ, ἔπειτα δὲ ἠσκεῖτο ὑπὸ τὴν χειραγωγίαν τοῦ Ἀββᾶ Σερίδου ἐν τῇ παρὰ τὴν Γάζαν Μονῇ(2). Κατόπιν δέ, ἐφιέμενος ὑψηλοτέρας ἀσκήσεως, ἐξῆλθε μετὰ τοῦ ἀσκητοῦ Ἰωάννου εἰς τὴν ἔρημον περὶ τὴν Μονὴν τοῦ Σερίδου, ἔνθα ἐνέκλεισεν ἑαυτὸν ἐν μικρῷ κελλίῳ, ὅπερ αὐτὸς ἔκτισεν (3). Ἐν τῇ ἀρχῇ δὲ τῆς ἡσυχίας αὐτοῦ ἔφερον αὐτῷ τρεῖς μόνον ἄρτους κατὰ πᾶσαν ἑβδομάδα ἐκ τῆς Μονῆς (4). Μετὰ δὲ ταῦτα αἱ πνευματικαὶ ἀνάγκαι τοῦ ἀσκητοῦ ἐπεκράτησαν τῶν

(1) Λόγ. κβ΄.

(2) Ὁ βίος τοῦ ἁγίου ἐγράφη ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Ἰωσήφ.

(3) Περὶ τοῦ Ἀββᾶ Σερίδου βλ. Ἀποκρ. α΄. φοβ΄.—φοζ΄. χζ΄.

(4) Ἀπόκρ. φοβ΄.

τῆς σωματικῆς ζωῆς, καὶ ἐντεῦθεν ἐπελανθάνετο τῆς τροφῆς (1). Ὁ θεῖος Πατὴρ διέμενεν ἐν οὕτω βαθείᾳ σιωπῇ, ὥστε ἐθεώρει τὸ ἑαυτοῦ κελλίον ὡς τάφον αὐτοῦ(2). Ἐκεῖνοι, οὓς εἵλκυσε πρὸς αὐτὸν ἡ τῶν ἀγώνων αὐτοῦ δόξα, εἶτα δὲ καὶ ἡ τῶν θαυμάτων, ἐλάμβανον παρ' αὐτοῦ ἀποκρίσεις μόνον διὰ τοῦ Ἀββᾶ Σερίδου, τιμὴν αὐτοῦ ἡγουμένου τὸ ὑποτάσσεσθαι αὐτῷ (3). Ἀδελφός τις ἔλεγεν αὐτῷ διὰ τοῦ Ἀββᾶ Σερίδου, ὅτι καὶ ὁ Ἀββᾶς Μωϋσῆς καὶ οἱ λοιποὶ τῶν Πατέρων συνετύγχανον τοῖς δεομένοις ἰδεῖν αὐτούς· ὁ δὲ Ἀββᾶς ἐν τῇ πρὸς αὐτὸν ἀποκρίσει ἔγραψεν αὐτῷ πρὸς τοῖς ἄλλοις τάδε: «σὺ ὅμως ὡς καλὸς ἐργάτης καὶ ὑπήκοος ἔργασαι, καὶ μὴ ἐπιζητήσῃς τοῦτο παρ' ἐμοῦ ἐπιποθοῦντος ἰδεῖν καὶ ἀσπάσασθαι σὲ καὶ πάντας ἀπὸ τῆς κατὰ Θεὸν ἀγάπης, καιρῷ δέ, ἐὰν πληροφορήσῃ με ὁ Θεός, ἀπ' ἐμαυτοῦ ἐπιρρίπτω καὶ καταφιλῶ πάντων ὑμῶν τὰ πέλματα, ἱκεσίας καὶ εὐχῆς χάριν τοῦ ρυσθῆναι ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ». Παρῆλθεν ἱκανὸς χρόνος, καὶ ὁ ἀδελφὸς ἐπελάθετο τῆς ἀποκρίσεως τοῦ Γέροντος, —ἐκτὸς δὲ τούτου ἔλεγε μὴ εἶναι ὅλως ἐν τῷ κελλίῳ τὸν Γέροντα, ἀλλὰ πλάττεσθαι τὸν Σέριδον τὴν αὐτοῦ παρουσίαν. Κατὰ

(1) Ἀπόκρ. οη'.

(2) Ἀπόκρ. οβ'. ογ'.

(3) Βλ. β. τοῦ ἁγ. Δοσιθέου, μαθητοῦ τοῦ Ἀββᾶ Δωροθέου. Ἐν τῇ συλλογῇ τῶν Ἀποκρίσεων ἀναγινώσκομεν: «Γέρων τις Αἰγύπτιος ἐλθὼν οἰκῆσαι ἐν τῷ μοναστηρίῳ, ἔνθα οἱ Πατέρες ἦσαν, γράμμασιν ἐχρήσατο αἰγυπτιστὶ γεγραμμένοις πρὸς τὸν μέγαν γέροντα (ἦν γὰρ καὶ αὐτὸς Αἰγύπτιος), αἰτῶν εὐχὴν καὶ λόγον περὶ ὠφελείας ψυχῆς, καὶ εἰ δυνατὸν ἀξιωθῆναι τῆς αὐτοῦ συντυχίας· ὁ δὲ ἑλληνιστὶ τὴν ἀπόκρισιν ἔγραψεν, ἔχουσαν οὕτως: Ἐπειδὴ ἔταξα ἐμαυτὸν τοῦ μὴ γράψαι τινί, ἀλλὰ διὰ τοῦ Ἀββᾶ πέμπειν τὴν ἀπόκρισιν, διὰ τοῦτο οὐκ ἔγραψά σοι αἰγυπτιστί, ἀλλ' ἠναγκάσθην ἑλληνιστὶ εἰπεῖν αὐτῷ γράψαι σοι· Οὐ γὰρ ἐπίσταται αἰγυπτιστὶ λέγειν. Εἰ ἀγαπητόν σου καὶ Πατέρα ἐν Κυρίῳ ἔταξάς με ἐν τοῖς σοῖς γράμμασιν ἐπιστάμενον τὸν κάματον, καὶ τὰς ἀνάγκας καὶ τὸν κίνδυνον τῆς ψυχῆς, εἰ πατήρ σου εἰμί, ὡς ἔγραψας, ἐντολήν σοι δίδωμι μὴ ὀχλήσῃς μοι περὶ συντυχίας. Οὐ γὰρ ποιῶ διαφορὰν ἀνθρώπου, καὶ ζῶ· ἀλλ' ἐὰν ἀνοίξω σοί, καὶ πᾶσι· Καὶ ἐὰν μὴ σοί, οὐδ' ἄλλῳ τινί». Ἀπόκρ νε'.

τοῦτον τὸν χρόνον ὁ ὅσιος καλέσας τὸν αὐτὸν ἀδελφὸν καὶ τοὺς εὑρεθέντας ἐν τῷ τόπῳ, ἔνιψε τοὺς πόδας ἁπάντων. Ἐντεῦθεν ἀνανήψας ὁ ἀδελφός, ἐξωμολογήσατο τοῖς μετ᾽ αὐτοῦ τήν τε ἰδίαν ἀπιστίαν καὶ τὴν πρόρρησιν τοῦ Γέροντος (1). Ὁ ἀγὼν τοῦ Βαρσανουφίου ἦν ἔκτακτος, ἐντεῦθεν δ᾽ ἐτάραττε πολλοὺς ἐν τῇ ἀρχῇ. Εὐστόχιος ὁ τῶν Ἱεροσολύμων Πατριάρχης († 544-556), δυσπιστῶν τοῖς περὶ αὐτοῦ λεγομένοις, διέταξε διορυχθῆναι τὸ κελλίον, ἐν ᾧ καθεῖρκτο ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἀλλὰ πῦρ ἐκθορὸν μικρὸν τοὺς αὐτόσε πάντας ἐνέπρησε» (2). Ὁ Βαρσανούφιος, μετὰ τὸν θάνατον τοῦ φίλου αὐτοῦ, τοῦ προορατικοῦ Ἰωάννου, ὃς διῆλθε μετ᾽ αὐτοῦ 18 ἔτη, καὶ τὸν τοῦ Ἀββᾶ Σερίδου, ἐφιέμενος ἀδιάλειπτον ἔχειν πρὸς τὸν Κύριον ὁμιλίαν, ἐπαύσατο ὅλως κοινωνεῖν τοῖς ἀνθρώποις. Οὐδενὶ ἐδίδω ἀποκρίσεις (3). Τὸ πνεῦμα τοῦτο τοῦ μεγάλου Γέροντος—ἡ πρὸς τὴν σιωπὴν δηλαδὴ ἀγάπη—οὐκ ἠδύνατο μὴ ἔχειν ῥοπὴν ἐπὶ τὰς συγχρόνους μονάς, αἵτινες εἶχον ἀνάγκην τοῦ μαθήματος σιωπῆς. Καὶ ἐν Παλαιστίνῃ καὶ ἐν Ἑλλάδι ἠκούοντο τότε δειναὶ ἔριδες περὶ τῆς οὕτω λεγομένης τότε διδασκαλίας τοῦ Ὠριγένους καὶ περὶ τῆς μυστικῆς ἑνώσεως τῶν δύο φύσεων ἐν τῷ Χριστῷ Ἰησοῦ. Ὁ μέγας Ἀββᾶς ἤλεγχε τὴν ἀσθένειαν τοῦ χρόνου καὶ διὰ διδασκαλιῶν καὶ διὰ τοῦ βίου αὐτοῦ (4). Ἐπ᾽ ἀγαθῷ τῆς Ἐκκλησίας κατέλιπε καὶ τὴν σιωπήν. Ὁ Μάριος ἐπέμφθη τῷ 562 εἰς Συρίαν ὑπὸ τοῦ Ἰουστινιανοῦ καταδιώξων τοὺς μὴ ἀποδεχομένους τὰς δοξασίας τῶν Ἀφθαρτοδοκητῶν. Ὁ μέγας Ἀββᾶς ἀπεστάλη ὑπὸ τοῦ Π. τῶν Ἱεροσολύμων, πρεσβευτὴς πρὸς τὸν Αὐτοκράτορα, ὅς, πεισθεὶς ὑπὸ τῆς δυνάμεως τοῦ τε βίου καὶ τοῦ λόγου τοῦ Ἀββᾶ, ἐκώλυσε τὸν Μάριον, καὶ ἀντὶ τοῦ προτέρου μίσους πρὸς τὴν Ἐκκλησίαν τῶν Ἱεροσολύμων, ἔπεμψεν αὐτῇ διὰ τοῦ ὁσίου δῶρα (5). Ὁ μέγας Ἀββᾶς κατέλυσε τὸν βίον τῷ 563 (6).

(1) Ἀπόκρ. ξα΄.

(2) Εὐάγρ. Δ΄. 33.

(3) «Ὤκνησε δὲ ὁ αὐτὸς Ἀββᾶς Ἰωάννης ἐν τῷ πρώτῳ κελλίῳ τοῦ γέροντος, τῷ κτισθέντι αὐτῷ ἔξω τῆς μονῆς, ἔτη δέκα καὶ ὀκτὼ ἡσυχάζων ἕως τῆς αὐτοῦ τελευτῆς.» Ἀπ. σκγ΄ περὶ τοῦ θαν. Σερίδου βλ. ἀπ. φπά χζ΄.

(4) Ἀπόκρ. χη΄—χις΄.

(5) Ἰωσὴφ ἐν β. τοῦ ἁγ. Βαρσανουφίου. Ὁ Ἰουστινιανός, ὑπερασπίζων τοὺς Ἀφθαρτοδοκητάς, ἐστέρησε

§. 234. Ἀποκρίσεις·

Αἱ Ἀποκρίσεις τοῦ μεγάλου Βαρσανουφίου καὶ ἐν μέρει τοῦ προορατικοῦ αὐτοῦ φίλου Ἰωάννου ἐγράφησαν ἐκ τῶν λόγων αὐτῶν ὑπὸ τοῦ Ἀββᾶ Σερίδου ([1]). « Κἀγὼ Σέριδος λέγω σοι πρᾶγμα θαυμαστόν. Ὡς γὰρ ἐλάλησε ταῦτα ὁ Γέρων, ἐλογισάμην ἐν ἐμαυτῷ, πῶς ἔχω κρατῆσαι τοῦ γράψαι ταῦτα; εἰ ἤθελεν ὁ Γέρων, εἶχον ἐνεγκεῖν ὧδε τὸ μέλαν καὶ τὸ χαρτίον καὶ ἀκοῦσαι ἕνα λόγον καὶ γράψαι. Καὶ αὐτὸς ἔγνω, ἃ ἐλογισάμην, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς πῦρ, καὶ εἶπέ μοι: ὕπαγε, γράψον, μὴ φοβηθῇς· ἐὰν

τοὺς Π. Εὐτύχιον καὶ Ἀναστάσιον τοὺς θρόνους αὐτῶν. Πληρωτὴς δὲ τῶν διατάξεων αὐτοῦ ἦν ὁ Μάριος. Ὁ Ἰουστινιανὸς κατεδίωκεν ἀπηνῶς καθ' ἅπαντα αὐτοῦ τὸν βίον τοὺς Ὠριγενιστάς. Ὁ διωγμὸς τοίνυν, περὶ οὗ ποιεῖται λόγον ὁ Ἰωσήφ, ἦν ὁ τῷ 562 ὑπὲρ τῆς δοξασίας τῶν Ἀφθαρτοδοκητῶν γενόμενος, οὐχὶ δὲ ὑπὲρ τοῦ Ὠριγενισμοῦ, ὡς τοὐναντίον λέγεται ἐν τῇ Χριστιαν. Ἀναγν.

([6]) Ὁ Εὐάγριος λέγει περὶ τοῦ Βαρσανουφίου. . . . . . πιστεύεται δὲ καὶ ζῆν αὐτὸν ἐν οἰκίσκῳ καθειργμένον, καί τοι γε ἀπὸ τούτων πεντήκοντα καὶ πρός γε χρόνων οὔτε ὀφθέντα τῷ οὔτε τῶν ἐπὶ γῆς τινος μετειληφότα » (δ'. 33). Ἀλλ' ὁ βιογράφος Ἰωσὴφ προσεγγίζει τὸν χρόνον τῆς τελευτῆς τοῦ ὁσίου, τῷ τῆς πρεσβείας αὐτοῦ πρὸς τὸν Ἰουστινιανόν, καὶ λέγει, ὅτι μετὰ τὴν ἐκ Κωνσταντ]λεως ἐπάνοδον ὁ Βαρσανούφιος, ἐπισκεψάμενος τὴν Βηθλεὲμ καὶ τὴν Γεθσημανῆ, παρέδωκε τῷ πνεῦμα αὐτοῦ τῷ Κυρίῳ ἐπὶ τοῦ ὄρους Γολγοθᾶ. Ὁ Εὐάγριος ἀριθμεῖ 50 ἔτη ἀπὸ τοῦ Εὐστοχίου, ἀλλὰ μετὰ τὴν ὑπὸ τοῦ Πατριάρχου ἀνατεθεῖσαν τῷ ὁσίῳ ἐντολὴν εἶδον αὐτὸν ἄνθρωποι. Ἐντεῦθεν οὐχ ὑπάρχει ἐν τοῖς λόγοις τοῦ Εὐαγρίου ἱστορικὴ ἀκρίβεια.

([1]) Ἡ βίβλος τοῦ Ἀββᾶ Βαρσανουφίου ἐξεδόθη ἅπαξ μόνον μέχρι τοῦ νῦν ἑλληνιστὶ Ἐνετίησι τῷ 1816. Ἀπόγραφα αὐτῆς ἐν τῇ τῆς Μόσχας συνοδ. Βιβλ. cod. 5. ἐν τῇ τῆς Βιέννης cod. 179. 240. Lambec. com. 4.419,5,213. ἐν τῷ τοῦ Ὀξων. cod. 98,107,213. Catal. Mss. Angliæ 1. n. 277, 286. ἐν τῷ τῶν Παρισ. cod. 873,2500. in Coisl. cod 112. 123, 281, 284. Ὁ Μοντφωκ. ἐξέδ. ἐκ τῆς τελευταίας: α) τὰς Ἀποκρίσεις εἰς τὰς περὶ Ὠριγέν. ἐρωτήσεις (Bibl. Coisl. cod. 112. p. 122). β) Ἀποκρίσεις τινάς, ληφθείσας ἐκ τῶν συλλογῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ καὶ Νίκωνος τοῦ ἐν τῷ Μέλανι Ὄρει τῆς Ἀντιοχείας ἀσκήσαντος (Bibl. Coisl. cod. 112. 122).

εἴπω σοι μυρίους λόγους γράψαι, οὔτε περισσόν, οὔτε παρά, ἕως ἑνὸς γράμματος ἀφῇ σε τὸ Πνεῦμα τοῦ Θεοῦ γράψαι αὐτό, οὔτε ἐὰν σὺ θέλῃς· ἀλλ᾽ ὁδηγεῖ τὴν χεῖρά σου, πῶς αὐτὰ γράψεις μετ᾽ ἀκολουθίας» (1). Ἐπὶ μικρῶν πλακῶν προὐτείνοντο αἱ ἐρωτήσεις καὶ ἐπὶ μικρῶν ἐπ᾽ ἴσης πλακῶν ἐγράφοντο αἱ ἀποκρίσεις (2). Αἱ ἀποκρίσεις τοῦ μεγάλου Γέροντός εἰσι πλήρεις πνευματικοῦ μύρου. Ταύτας ἐδίδω ἀνθρώποις, οὓς οὐχ ἑώρα σωματικῶς, διατρίβων ἐν τῷ κελλίῳ, ἐν ᾧ ἔκλεισεν ἑαυτόν· ἀπεκρίνετο δέ, διότι ἐθεώρει διὰ τοῦ πνεύματος τὰς καταστάσεις τῶν ψυχῶν τῶν ἐρωτώντων(3). Ἐντεῦθεν δ᾽ ἀποκαλύπτουσι τὴν ἀνθρωπίνην ψυχὴν οὕτως, ὡς εἰ τοῦτο ἦν πρᾶγμα ἐγγὺς τῶν σωματικῶν ὀφθαλμῶν καὶ γνωστὸν ἕνεκα τῆς καθημερινῆς χρήσεως. Ὁλόκληρος ἡ συλλογὴ περιέχει ἀποκρίσεις εἰς ἀνθρώπους διαφόρου τάξεως καὶ καταστάσεως. Κυρία δ᾽ ἁπασῶν ὑπόθεσίς ἐστιν ἡ συνείδησις τοῦ ἔσω ἀνθρώπου, τὸ ἐκδύσασθαι δηλονότι τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθαι τὸν νέον (4).

Ἰδοὺ μία ἀπόκρισις, δεικνῦσα τοῖς μὲν προκόπτουσιν ἐν τῷ πνευματικῷ βίῳ τὸ ἀναγκαῖον αὐτοῖς, τοῖς δὲ ἀρχαρίοις παρέχουσα παραινέσεις·

«Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γέροντα· πῶς δύναμαι εἰδέναι τὸν ἐκ τοῦ Θεοῦ λογισμὸν καὶ τὸν ἐκ τῶν δαιμόνων; Ἀπόκρισις. «Τέκνον Θεόδωρε, αἰτῶ, κατανόησον τί αἰτεῖς, καὶ ἑτοίμασον σεαυτὸν εἰς ἐργασίαν. Γέγραπται γάρ: μ ὴ τ ὰ ὑ ψ η λ ὰ φ ρ ο ν ο ῦ ν τ ε ς, ἀ λ λ ὰ τ ο ῖ ς

(1) Ἀπόκρ. α΄.

(2) Ἡ πλήρης συλλογὴ τῶν ἀποκρίσεων τὸν ἀριθμὸν 836 ἐγένετο ὑπ᾽ ἀγνώστου μετὰ τὴν τελευτὴν τοῦ Ἀββᾶ Σερίδου. Αἱ ἀποκρίσεις 221, 572-606 ἐδόθησαν τῷ διαδόχῳ τοῦ Σερίδου ἡγουμένῳ Αἰλιανῷ.

(3) Βλ. ἀπόκρ. νδ΄. καὶ ρξα΄. ρξβ΄. ωθ΄. σνε΄.

(4) «Ταῦτα πάντα οὐκ ἐξ ἰδίου θελήματος γράφω, ἀλλ᾽ ἐκ κελεύσεως τοῦ ἁγίου Πνεύματος, ὅλα δὲ πρὸς διόρθωσιν καὶ ὠφέλειαν τῆς ψυχῆς καὶ συνειδήσεως τοῦ ἔσω ἀνθρώπου» (Ἀπόκρ. ιγ΄.). Ἐν μιᾷ τῶν τελευταίων ἀποκρίσεων Ἰωάννῃ τῷ ἀπὸ Μηροσάβης: «Ἐγράφη σοι ἀπὸ τοῦ Ἄλφα ἕως τοῦ ὠμέγα, ἀπὸ ἀρχαρίου καταστάσεως μέχρι τελείου, ἀπ᾽ ἀρχῆς τῆς ὁδοῦ μέχρι τοῦ τέλους αὐτῆς, ἀπὸ τοῦ ἐκδύσασθαι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις αὐτοῦ μέχρι τοῦ ἐνδύσασθαι τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα» (μθ΄.).

ταπεινοῖς συναπαγόμενοι. Τὸ αἴσθημά σου, ἀδελφέ, τοῦ μεγάλου ἐστὶ μέτρου. Ἐὰν οὖν μὴ καθαρισθῇ ὁ ὀφθαλμὸς ὁ ἔσωθεν διὰ πολλῶν ἰατρειῶν, οὐ δύναται ἀποστῆναι τῶν ἀκανθῶν καὶ τριβόλων, καὶ καταλαβεῖν τὴν σταφυλὴν τὴν στύφουσαν καρδίαν καὶ εὐφραίνουσαν. Ἐὰν μὴ καταλάβῃ ὁ ἄνθρωπος τοῦτο τὸ μέτρον, διακρῖναι οὐ δύναται μήποτε χλευασθῇ ὑπὸ δαιμόνων καὶ πλανηθῇ πιστεύων αὐτοῖς. Μετασχηματίζουσι γὰρ τὰ πράγματα ὡς θέλουσι, καὶ μάλιστα τοῖς τὰς τέχνας αὐτῶν μὴ ἐπισταμένοις. Ἀγαπητέ, ἔλπισον ἐπὶ Κύριον, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου, καὶ εἰπὲ αὐτῷ ἐν πᾶσι: Γενέσθω, Κύριε, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, καὶ ποιεῖ μετὰ σοῦ κατὰ τὸ αὐτοῦ θέλημα. Ἄκουσον, τέκνον, τὴν διάκρισιν, ὧν ἠρώτησας λογισμῶν. Ὅτε ὑποβάλλει σοι ὁ λογισμὸς ποιῆσαί τι κατὰ τὸ θέλημα αὐτοῦ, καὶ εὑρίσκεις χαρὰν ἐν τῷ πράγματι καὶ θλῖψιν ἀντιστήκουσαν, μάθε ὅτι τοῦ Θεοῦ ἐστι, καὶ πύκτευσον ὑπομεῖναι κατὰ τὸν λέγοντα Ἀπόστολον· δουλαγωγῶ μου τὸ σῶμα καὶ ὑποπιάζω, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι, καὶ πλήρωσον τὸ θέλημα τοῦ Θεοῦ (1). Τοῦτο δὲ μάθε, ἀδελφέ μου, ὅτι πᾶς λογισμὸς μὴ προηγουμένως τὴν γαλήνην τῆς ταπεινώσεως ἔχων, κατὰ Θεὸν οὐκ ἔστιν· ὁ γὰρ Κύριος ἡμῶν μετὰ γαληνότητος ἔρχεται. Ὅλα δὲ τὰ τοῦ ἀντιδίκου μετὰ ταραχῆς καὶ κινήσεως » (2).

§. 235. Ἀναστάσιος ὁ Π. Ἀντιοχείας.

Ἀναστάσιος, ὁ μετὰ τὸν Δόμνον ἢ Δομνῖνον ἀπὸ τοῦ 561 Πατριάρχης τῆς Θεουπόλεως Ἀντιοχείας, ἀποστολικὸς Ποιμὴν (3). Ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς ἀπειλαῖς καὶ κολακείαις παρώρμα αὐτὸν ἐπικυρῶσαι διὰ συνοδικῆς ἀποφάσεως τὴν προσφιλῆ αὐτῷ δοξασίαν, ὅτι ἦν ἄφθαρτον πρὸ τοῦ Πάθους τὸ τοῦ Κυρίου σῶμα. Ἀποδεξαμένων δ' ἐπισκόπων τινῶν τοῦτο, ὁ Ἀναστάσιος παρέστησεν ἐπὶ

(1) Ἀπόκρ. ξ'.

(2) Ἀπόκρ. κα'.

(3) Νικηφ. οζ'. 29. ιη'. 44. Κατ' αὐτὸν Ἀναστάσιος ὁ Σιναΐτης ὁ τοῦ Ὁδηγοῦ συγγραφεύς, καὶ Ἀναστάσιος ὁ Π. Ἀντιοχείας εἰσὶν ἓν καὶ τὸ αὐτὸ πρόσωπον, ἐνῷ χωρίζει αὐτοὺς ὁλόκληρος ἑκατονταετηρίς.

χάρτου ἀνασκευὴν ταύτης τῆς οὐκ ὀρθῆς δοξασίας. Περὶ τούτου ἔγραψε καὶ τῷ αὐτοῦ ποιμνίῳ, ὅπερ ἄριστα εἰδὸς τήν τε ἁγιότητα καὶ τὴν ἔξοχον ἐκείνου παιδείαν, ἔμενε πιστὸν τῇ φωνῇ τοῦ ἰδίου Ποιμένος. Τῷ 563 ἔγνω ὁ Ἰουστινιανὸς ἐξορίσαι τὸν Ἀναστάσιον. Μετὰ χαρᾶς ἐδήλωσε τοῦτο ὁ ἱερὸς Ποιμὴν τῷ ἑαυτοῦ ποιμνίῳ ([1]). Τελευτήσαντος δὲ τοῦ Ἰουστινιανοῦ, ἀνεστάλη ἡ ἐκπλήρωσις τοῦ ἰνδίκτου. Ὁ Ἰουστῖνος κατηγόρησε τοῦ θείου Πατριάρχου οὐ χαρισαμένου τῇ πλεονεξίᾳ ἐκείνου σπατάλην τῶν ἐκκλησιαστικῶν χρημάτων, ὧν ἐγίγνετο χρῆσις ὑπὲρ τῶν πτωχῶν, καὶ τῷ 572 ἐξώρισεν αὐτόν. Τρία καὶ εἴκοσιν ὅλα ἔτη ὁ Ἀναστάσιος διέτριψεν ἐν τῇ ἐξορίᾳ. Τῷ δὲ 595 ἀπέδωκεν αὐτῷ τὸν θρόνον ὁ εὐσεβὴς Αὐτοκράτωρ Μαυρίκιος, τελευτήσαντος τοῦ Π. Γρηγορίου ([2]). Εἰρήνη καὶ ἔτι εἰρήνη καὶ τρὶς εἰρήνη Ὑμῖν εἶπε τῷ ἐπὶ τῇ ἐπανόδῳ αὐτοῦ ὑπ' ἄκρας χαρᾶς καταληφθέντι ποιμνίῳ αὐτοῦ ([3]). Εἰ καὶ ὁ Π. Ῥώμης Γρηγόριος ὁ Μέγας πάνυ βαρέως ἤνεγκε τὴν πρὸς αὐτὸν γινομένην ἀδικίαν καὶ οὐκ ὀλίγον συνετέλεσεν εἰς τὴν ἐκ τῆς ἐξορίας ἐπάνοδον αὐτοῦ, ὅμως, ὅτε παρεκάλεσεν αὐτὸν κατακρῖναι τὴν τῷ Πατριάρχῃ τῆς Νέας Ρώ-

---

([1]) Νικηφ. ιζ'. 30, 31. Ὁ ἅγ. Γερμανὸς λέγει περὶ αὐτοῦ: « Μεγάλως ὑπὲρ τῆς Συν. (τῆς ἐν Χαλκ.) συνίσταται καὶ δογματικοὺς κανόνας ἐγγράφως ἐξέθετο » (ap. Maium Spicil. Roman. VII. p. 48). Ὁ Μάϊος ἐννοεῖ ἐνταῦθα τοὺς πέντε δογματικοὺς λόγους τοῦ Ἀναστασίου, μάλιστα δὲ τὸν τρίτον περὶ θείας Οἰκονομίας· ἀλλ' οἱ λόγοι οὐκ εἰσὶ κανόνες. Κατὰ τὸ ἀρχαῖον Συνοδικὸν Synodicon vetus ap. Fabr. B. Gr. T. XI. p. 239.), ὁ ἅγιος Ἀναστάσιος συνέταξεν ἐν τῇ Συνόδῳ ὅρους ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου, καί, βεβαίως, κατὰ τῶν Ἀφθαρτοδοκητῶν.

([2]) Εὐαγρ. ς'. 24. ε'. 5. Νικηφ. ιζ'. 36. 26. 44. Ὁ Γρηγόριος ἦν ἐπ' ἴσης ἀνὴρ πάνυ ἐνάρετος καὶ πεπαιδευμένος (Εὐαγρ. ε'. 6). Οἱ λόγοι αὐτοῦ: α') εἰς τὰς Μυροφόρους ἐξεδ. ὑπὸ Κομβεφισίου in Auct. Β'. T. I. p. 827. β') Εἰς τὸ οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐξεδ. ὑπὸ Μαΐου Classic. Auct. T. X. p. 560.

([3]) Οὕτως ἤρχετο ὁ λόγος τοῦ Ἀναστασίου, ὁ ἐκφωνηθεὶς ὁπηνίκα ἐπανῆλθεν ἐπὶ τὸν θρόνον διὰ τριῶν καὶ εἴκοσι χρόνων τῇ κε' Μαρτίου τῇ ια'. τῆς Ἰνδικτ., τῇ Τετάρτῃ τῶν Παθῶν. Ὁ λόγος οὗτος παρὰ Κομβεφισίῳ Comm. de B. Cæsar. VIII. 159.

μης ἀπονεμηθεῖσαν ἐπωνυμίαν τοῦ Οἰκουμενικοῦ, ὁ ἱερώτατος ἀνὴρ ἀπεκρίνατο πρὸς τὸν ὀξύχολον Πάπαν καταστέλλων τὸν θόρυβον αὐτοῦ τῆς ψυχῆς καὶ μὴ οὐδαμινῆς αἰτίας ἕνεκα σκάνδαλον ποιεῖν παρεγγυῶν(1). Εὐγνωμονῶν δὲ τῷ ἁγίῳ Γρηγορίῳ ὁ Ἀναστάσιος μεθηρμήνευσεν εἰς τὴν ἑλλην. γλῶσσαν τὸν ποιμαντορικὸν κανόνα ἐκείνου, (2). Τῷ δὲ 599ῳ σωτηρίῳ ἔτει ὁ Ποιμὴν ὁ τὰ μὲν θεῖα εἰς τὰ μάλιστα λόγιος, ἀκριβὴς δὲ τοὺς τρόπους καὶ τὴν δίαιταν, ἐτελεύτησεν ἐν εἰρήνῃ (3), καταλιπὼν τὸν θρόνον ἑτέρῳ Ἀναστασίῳ (4).

Ἡ Ζ΄. Οἰκουμενικὴ Σύνοδος ἀναφέρει μετὰ σεβασμοῦ μαρτυρίας δογματικὰς τοῦ θεοσόφου Ποιμένος α΄) ἐκ τῆς ἐπιστολῆς αὐτοῦ πρὸς Συμεὼν ἐπίσκοπον Βόστρων, καὶ β΄) ἐκ τῆς ἐπιστολῆς πρός τινα Σχολαστικόν (5).

Πλείστου ἄξιοί εἰσιν οἱ περὶ τῶν καθ᾽ ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων λόγοι ε΄.

α΄] Περὶ τῆς ἁγίας Τριάδος, οὗ ἡ ἀρχή: Τὸν περὶ τῆς ὑγιοῦς ἡμῶν πίστεως καὶ τῶν ἀληθῶν . . .

(1) Ep. Gregor. Lib. V. ep. 27. I. ep. 7. V. ep. 39.

(2) Gregor. Lib. ep. 22. IV. 37.

(3) Εὐαγρ. ς΄. 24. Κατὰ τὸν Θεοφάνην, ὁ Ἀναστάσιος ἐποίμανε τὸ πρῶτον τὴν Ἐκκλησίαν τῆς Ἀντιοχείας ἐπὶ ἕνδεκα ἔτη, τὸ δὲ δεύτερον ἐπὶ πέντε. Ὁ Νικηφόρος ὡς πρὸς τὸ πρῶτον συμφωνεῖ τῷ Θεοφάνει, τὸν δὲ τελευταῖον χρόνον ὁρίζει εἰς ἓξ ἔτη καὶ μίαν καὶ εἴκοσιν ἡμέρας.

(4) Ὁ διάδοχος αὐτοῦ Ἀναστάσιος ἐτελειώθη τῷ 609 διὰ πυρὸς ὑπὲρ Χριστοῦ. Νικηφόρος ὁ Κάλλιστος καὶ ἐνταῦθα πλανᾶται ταυτίζων Ἀναστάσιον τὸν Μάρτυρα Ἀναστασίῳ τῷ κατὰ τὸ 561 ἐπὶ τὸν θρόνον τὸ πρῶτον ἀναβάντι.

(5) Πρ. Δ΄. Ὁ Μάϊος ἐξέδωκεν ἓν χωρίον ἐκ τοῦ συγγράμματος τοῦ Ἀναστασίου πρὸς Σέργιον τὸν Σχολαστικὸν (Collect. Vet. Acect. VII. 27.). Ἰωάννης ὁ Ἀντιοχείας κατεχώρισεν ἐν ταῖς Ἐκλογαῖς αὐτοῦ τεμάχιον ἐκ τῶν πρὸς Σέργιον Σχολαστικὸν κεφαλαίων τοῦ ἁγίου Ἀναστασίου Πατριάρχου Ἀντιοχείας (Lambec. Comm. Vind. 223. (105). Ἐκ τοῦ συγγράμματος πρὸς Συμεῶνα ἐπίσκοπον Βόστρης ἀνέφερε μαρτυρίας ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν τῷ περὶ εἰκόν. β΄. καὶ γ΄. λόγῳ αὐτοῦ. Τ. Ά. σελ. 344. 396.

β'] Περὶ ἀπεριγράπτου, οὗ ἡ ἀρχή: Πάντα τολμᾷ γλῶσσα δολία...

γ'] Περὶ θείας Οἰκονομίας, οὗ ἡ ἀρχή: Ἱκανῶς ἡμῖν τῶν περὶ θεολογίας....

δ'] Περὶ πάθους καὶ ἀπαθείας Χριστοῦ, οὗ ἡ ἀρχή: Δείξας ἑαυτὸν διὰ τὸν παρ' αὐτοῦ...

ε'] Περὶ ἀναστάσεως, οὗ ἡ ἀρχή: Ἀλλὰ γὰρ οὐ περὶ τούτων μόνον... (1).

Οἱ λόγοι οὗτοι ἐγράφησαν ὑπὸ τοῦ ἁγίου Ποιμένος, ἐν τῇ ἐξορίᾳ ὄντος, ὡς αὐτὸς λέγει (2). Τὸ περιστατικὸν τοῦτο ἔσχεν ἐπιρροὴν ἐπὶ τούτου, ὅτι μαρτυρίας τῶν ἀρχαίων διδασκάλων οὐκ ἀναφέρει, περιοριζόμενος μόνον εἰς τὴν ἁγίαν Γραφήν. Δικαίως δ' ἄν τις θαυμάσειεν αὐτοὺς τῆς καλλιεπείας, τῆς σαφηνείας, καὶ ἀλληλουχίας τῶν νοημάτων. Ἐν τῷ τρίτῳ ἀποδείκνυσιν ὁ θεῖος Πατήρ, ὅτι δύο φύσεις ἐν τῷ Χριστῷ Ἰησοῦ. Ἐν τῷ τετάρτῳ καὶ πέμπτῳ καταπολεμεῖ τὴν διδασκαλίαν τῶν Ἀφθαρτοδοκητῶν. Διὰ δὲ τοῦ δευτέρου σπουδάζει καταστεῖλαι τὸ πάθος πρὸς τὰς σχολαστικὰς ἔριδας, τολμηρὰς μέχρις ἀσεβείας καὶ τῇ ἀληθείᾳ ἀνωφελεῖς.

Κατὰ τοῦ εὐτυχιανισμοῦ ἔγραψεν ἔτι συγγράμματά τινα (3).

---

(1) Οἱ λόγοι οὗτοι ἐξεδόθ. ὑπὸ Κανισίου Auct. Lect. antiqar. ed Basnag. T. I p. 436-465 ὑπὸ Γαλάνδ. T. XII. B. p.

(2) Ἐν μὲν τῷ α'. λόγ. λέγει, ὅτι ἀπηγόρευται αὐτῷ τὸ κηρύττειν τὸν λόγον τοῦ Θεοῦ, ἐν δὲ τῷ β'. ὅτι, εὑρισκόμενος ἐν ἐξορίᾳ, στερεῖται βιβλίων.

(3) Πλὴν τῶν μνημονευθέντων συγγρ. γνωστά εἰσι: α') Ἀναστ. Πατριάρχου Θεουπόλεως ἀποκρίσεις εἰς τὰς ἐρωτήσεις Γαβριὴλ Πέρσου πρεσβυτέρου ἐν τῇ ἀγγλ. Βιβλιοθ. Cod. Bar. 75. β') Ἐπ. ὑπὲρ τῆς ἐπιστολῆς Λέοντος Πάπα τοῦ τῆς ἀποστολικῆς μνήμης (Syn. Lateran. a. 649. act. 5. Labbei T. VI. p. 308. Harduin. T. III. p. 885). γ') κατὰ τὴν μαρτυρίαν τοῦ Εὐαγρίου (δ'. 40), πρὸ τῆς ὑπὸ τοῦ Ἰουστινιανοῦ ἐκδόσεως τοῦ περὶ ἐξορίας αὐτοῦ διατάγματος ἔγραψε κατὰ τῶν Ἀφθαρτοδοκητῶν πρὸς τὸ μοναδικὸν πρώτης καὶ δευτέρας Συρίας πυθόμενον. δ'.) Κεφάλαια ἐμφιλόσοφα ρξβ', ἅτινα ἐν τοῖς θείοις δόγμασι διὰ παντὸς ἐμφέρεται,

Αὐστηρᾷ κριτικῇ ἀνεσκεύασε καὶ τὸ σύγγραμα τοῦ τριθεΐτου Ἰωάννου τοῦ Φιλοπόνου(1).

Ὁ ἅγιος Ἀναστάσιος ἦν ἔνθερμος τοῦ θείου λόγου κήρυξ. Ἀλλ' ἐκ τῶν λόγων αὐτοῦ ἐξεδόθησαν μόνον τρεῖς: δύο εἰς τὸν Εὐαγγελισμόν, ὧν τοῦ μὲν πρώτου ἡ ἀρχή: Σήμερον ἡμῖν, ὦ ἄριστοι παῖδες, τοῦ δὲ δευτέρου: Τί πάλιν ἐπὶ τῆς γῆς ὁ μέγας βούλεται Γαβριὴλ ἡμῖν, καὶ εἷς εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὗ ἡ ἀρχή: Ὁ φιλάνθρωπος Ἰησοῦς.

Τὸ σύγγραμμα αὐτοῦ περὶ τοῦ ἀξιώματος τῆς ἱερωσύνης [6] ἐτάσσετο ἐν ταῖς κανονικαῖς Διατάξεσι τῆς Ἐκκλησίας. Ἐν αὐτῷ γράφει: «Ὁ τιμῶν τὸν ἱερέα τὸν Θεὸν τιμήσει· ὁ δὲ μαθὼν τὸν ἱερέα καταφρονεῖν, ὁδῷ προβαίνων καὶ εἰς τὸν Θεὸν ἐνυβρίσει ποτέ. Ὁ δεχόμενος ὑμᾶς, φησιν, ἐμὲ δέχεται· καὶ ἕτερος ἀλλαχοῦ: τοὺς ἱερεῖς αὐτοῦ, φησιν, ἐντίμως ἔχε. Ἐντεῦθεν ἔμαθον οἱ Ἰουδαῖοι τοῦ Θεοῦ καταφρονεῖν, ὅτι Μωσέως κατεφρόνησαν, ὅτι αὐτὸν ἐλίθαζον, κ. τ. λ.» (2).

---

in Biblioth. Cæsar. (Oudin. Comm. de Script. Eccles. T. II p. 574).

ε') Ὡς πρὸς τὴν ἔκθ. σύντομον τῆς Ὀρθοδ. πίστεως, ἥτις ὑπάρχει καὶ ἐν τῷ σλαβ. ψαλτηρ., ἥτε ὑπόθεσις καὶ ἡ ἐπιγραφὴ αὐτῆς δεικνῦσιν, ὅτι συνετέθη ἐκ τῶν συγγραμμάτων τοῦ Ἀναστασίου καὶ τῶν τοῦ Κυρίλλου μετὰ τὴν τελευτὴν αὐτοῦ. Ἐν αὐτῇ γίγνεται λόγος περὶ τῶν δύο θελημάτων καὶ ἐνεργειῶν, δηλ. κατὰ τῶν Μονοθελητῶν, ὧν ἡ αἵρεσις ἤρξατο τῷ 620.

(1) Κατὰ τοῦ συγγράμματος τοῦ Φιλοπόνου Διαιτητὴς συνέγραψε βιβλίον ὁ Ἀναστάσιος φέρων τὴν αὐτὴν ἐπιγραφήν. Τοῦ βιβλίου τούτου ἓν μέρος ἐξεδ. ὑπὸ Γρετσέρου, ἕτερον δὲ ὑπὸ Μαΐου in Collect. Vet. Auct. VII. 59.

[6] Τὸ σύγγραμμα τοῦτο συνεγράφη ὑπὸ τοῦ συγγραφέως τοῦ Ὁδηγοῦ Ἀναστασίου τοῦ Σιναΐτου, καὶ τεμάχιον αὐτοῦ ἐξεδ. ὑπὸ Μαΐου (in Spicil. Roman. T. VII p. 27). Τὸ τεμάχιον τοῦτο ἐξεδ. καὶ ὑπὸ Migne in Patrologia græca T. LXXXIX. p. 1288. Σ. Μ.

(2) Ὁ Μάϊος ἀνέγνω αὐτὸ ἐν τῷ Συνοδ. τῆς Ἐκκλ. τῆς Κωνσταντ. (Præf. in T. VII Spicil. Roman. p. 23. 24). Ὑπάρχει ἐν τοῖς χειρόγρ. τῆς ἐν Μόσχᾳ Συν. Βιβλ. cod. 300, ἐν τῇ Κοΐσλιν. Βιβλ. ap.

§. 236. Ἰσαὰκ ὁ Σύρος.

Ἰσαὰκ ὁ Σύρος ἐγεννήθη ἐν Νινευΐ. Χαίρειν εἰπὼν κόσμῳ τε καὶ τοῖς ἐν αὐτῷ ἐν ἀνθηρᾷ τῇ ἡλικίᾳ, ἀπεχώρησε μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ εἰς τὸ μοναστήριον τοῦ Μαρ - Ματθαίου, ἔνθα καὶ σχῆμα καὶ τρόπον καὶ βίον τὸν μοναδικὸν ἐδέξατο. Ἔπειτα, εἰς ἱκανὸν ἀρετῆς μέτρον ἐλάσας, ἐξελέξατο τὸν ἐρημικὸν βίον ἐν τῇ ἐρήμῳ, ἔνθα ὑπέβαλεν ἑαυτὸν εἰς αὐστηροτέρους ἀγῶνας. Ὁ ἀδελφὸς αὐτοῦ, ἀναδεξάμενος τὴν προεδρίαν τοῦ μνημονευθέντος μοναστηρίου, προὔτρεπεν αὐτὸν λιπαρῶς δι' ἐπιστολῶν ἐπανελθεῖν εἰς αὐτό. Ἡ φήμη περὶ τῶν ὑψηλῶν ἀγώνων καὶ τῆς παιδείας τοῦ Ἰσαὰκ διήγειρε γενικὸν πόθον ἐν τοῖς Νινευΐταις παρακαλέσαι αὐτὸν γενέσθαι ἐπίσκοπον αὐτῶν. Ὁ Ἰσαὰκ τότε οὐκ ἐτόλμησεν ἀπορρίψαι τὴν κλῆσιν τῶν ἀνθρώπων· ἀλλ' ἀρνησαμένων αὐτῶν ἀκούειν αὐτοῦ ὡς ποιμένος, ἀπέθετο τὴν κλῆσιν ποιμένος αὐτῶν. Τοῦτο συνέβη ὧδε: Παρέστησαν αὐτῷ δανειστὴς καὶ ὀφειλέτης· ὁ μὲν πρῶτος ἀπῄτει τὸ δάνειον, ὁ δ' ἕτερος, τὸ χρέος καθομολογῶν, ἐδέετο τυχεῖν μικρᾶς τινος προθεσμίας. Ὁ δανειστὴς ἠπείλει, ὅτι παραδώσει τὸν ὀφειλέτην τῷ κριτῇ. Ὁ ἅγιος Ἰσαὰκ εἶπεν αὐτῷ, ὅτι τὸ Εὐαγγέλιον ἐντέλλεται ἀφιέ-

---

Montf. p. 295, ἐν τῇ αὐτοκρατορ. Βιβλ. τῆς Βιέννης ap. Lamb. Comm. III. 196 IV. 65. 198. VIII. 425. Εἰς τὴν αὐτὴν κατηγορίαν ὑπάγεται ἡ χρονικὴ Διδασκαλία, ἧς ἡ ἀρχή: Ἀπὸ μὲν τῆς μεγάλης ἡμέρας τοῦ ἁγίου Πάσχα Venet. in Cod. Naniano, n. 10. V. Catal. Codd. Gr. Nan. p. 420. Ἡ δὲ Διήγησις περὶ τοῦ Πάπα Ῥώμης Γρηγορίου τοῦ Διαλόγου καὶ θαυματουργοῦ (Mss. Lamb. VIII. p. 425) ἀποτελεῖ μέρος τοῦ λόγου Ἀναστασίου τοῦ Σιναΐτου περὶ τῆς ἁγίας συνάξεως.—Σημειωτέον, ὅτι οὐ μόνον ὁ Κάλλιστος συνέχεε τὸν Π. Ἀναστάσιον Ἀν. τῷ Σιναΐτῃ (σημ. 1.), ἀλλὰ καὶ οἱ νεώτεροι, π. χ. οἱ ἐκδόται τῆς Λουγδουν. βιβλ. τῶν Π. (T. IX. B. p.) Τὰ συγγράμματα Ἀναστασίου τοῦ Σιναΐτου, ἡγουμένου τοῦ ζ'. αἰῶνος, ἐκδιδοῦσιν ὑπὸ τὸ ὄνομα τοῦ Π. Ἀναστασίου. Ὁ Οὐδῖνος ἐσπούδασε διασκεδάσαι τὸ σκότος, ἀλλ' οὐκ ἠδυνήθη κατορθῶσαι τοῦτο. Comm. de Script. I, 1485. II. 569-571, ἐπ' ἴσης ὁ Φαβρίκιος in Bibl. Gr. T. IX. p. 332-336.

ναι τὸ ὀφείλημα τῷ ὀφειλέτῃ, πολλῷ μᾶλλον ἀπαιτεῖ ὑπομένειν τὴν ἀπότισιν τοῦ ὀφειλομένου. Ὁ δ' ἀπηνὴς ἐκεῖνος ἀπεκρίνατο μετ' ὀργῆς: Ἄφες τὰ τοῦ Εὐαγγελίου. Ὁ εὐαγγελικὸς ποιμὴν εἶπεν: εἴπερ οὐχ ὑπακούετε ταῖς εὐαγγελικαῖς ἐντολαῖς, τί ἄρα ἐνταῦθα παραγέγονα ποιήσων; Καὶ ἀπεχώρησεν εἰς τὴν ἐν Αἰγύπτῳ ἔρημον τῆς Σκήτεως. Ἀλλ' ἐκ τῆς ἐρήμου, ὡς ἀπὸ θρόνου, ἐφώτιζε τὸν κόσμον τῷ τε ἁγίῳ αὐτοῦ βίῳ καὶ τῇ διδασκαλίᾳ (1). Καὶ ἀσκηταὶ τοιοῦτοι, οἷος Συμεὼν ὁ Θαυμαστορείτης ἐλάμβανον παρ' αὐτοῦ συμβουλὰς καὶ διδασκαλίας (2). Ὁ ἅγιος Ἰσαὰκ ἐξεδήμησε πρὸς Κύριον πλήρης ἡμερῶν ἐν τῷ τέλει τοῦ ἕκτου αἰῶνος (3).

Ὁ ἅγιος Ἰσαὰκ ἔγραψεν, ὡς Σύρος, τὰ πονήματα αὐτοῦ συριστί. Ὁ Ἐβὲδ-Ἰησοῦς, Σύρος συγγραφεύς, γράφει: «Ἰσαὰκ ὁ Νινευΐτης ἑπτὰ συνετάξατο τόμους, περὶ διοικήσεως πνεύματος, περὶ θείων μυστηρίων, περὶ κρίσεων καὶ πολιτείας» (4). Ἀλλ' οὐ γνωστὸν νῦν ὅ, τι ἦν γνωστὸν κατὰ τὸν ιγ'. αἰῶνα. Τὸ πλεῖστον μέρος τῶν λόγων τοῦ ἁγίου Ἰσαὰκ διεσώθη ἐν τῇ ἀραβικῇ μεταφράσει ὑπὸ τὸ ὄνομα μ ο ν α χ ι κ ο ῦ κ α ν ό ν ο ς. Ἐν τῇ μεταφράσει ταύτῃ σώζονται τέσσαρα βιβλία, ὧν τὸ πρῶτον περιέχει 24 λόγους, τὸ δεύτερον 45, τὸ τρίτον 44, τὸ τέταρτον 20 καὶ τὴν πρὸς Συμεὼν τὸν θαυμα-

(1) Ἡ διήγησις αὕτη περὶ τοῦ ἁγίου Ἰσαὰκ ἐν μεταφράσει ἐκ τοῦ συριακοῦ κατεχωρίσθη ἐν τῇ ἀρχῇ ἀπογράφου τῶν συγγραμμάτων αὐτοῦ σωζομένου ἐν τῇ Βιβλιοθ. τοῦ Βατικανοῦ, καὶ ἐξεδόθη ἑλληνιστὶ μετὰ τῶν συγγραμμάτων τοῦ θείου Πατρὸς ἐν Λειψίᾳ τῷ 1770 ὑπὸ τοῦ τότε μὲν ἱερομονάχου, κατόπιν δὲ Ἀρχιεπισκόπου Ἀστραχανίου Νικηφόρου τοῦ Θεοτόκη. Βλ. Assem. Bibl. Or. T. I. p. 445.

(2) Βλ. ἐπιστ. τοῦ ἁγίου Ἰσαὰκ πρὸς Συμεὼν τὸν Θαυμαστορείτην.

(3) Ὁ χρόνος τῆς τελευτῆς τοῦ ἁγίου Ἰσαὰκ ὁρίζεται α') τῷ ὅτι ἐν ἑνὶ τῶν συγγραμμάτων αὐτοῦ (Cod. Nitr. XX. p. 215) ἀναφέρει λέξεις Ἰακὼβ τοῦ Σερούχ, ἀποθανόντος τῷ 521 (Assem. Bibl. Op. I. p. 190. 445) β') τῇ ἐπιστολῇ αὐτοῦ πρὸς Συμεὼν τὸν Θαυμαστορείτην, τελευτήσαντα τῇ κδ' Μαΐου τοῦ 593 (Εὐαγρ. ς' 23). Ἐντεῦθεν δῆλον, ὅτι οὐ δεῖ συγχέειν τοῦτον τὸν ἅγ. Ἰσαὰκ πρὸς τὸν Ἰσαὰκ τὸν μαθητὴν τοῦ Ζηνοβίου, μαθητοῦ τοῦ Ἐφραίμ, ὡς ὑπέλαβεν ὁ Καβέος καὶ ὁ Λαμβέκιος.

(4) Ap. Assem. B. Or. T. III. P. I. c. 70.

στορείτην ἐπιστολήν. Οἱ ὑπὸ τῶν μοναχῶν τῆς ἐν Παλαιστίνῃ Μονῆς τοῦ ἁγίου Σάββα Πατρικίου καὶ Ἀβραμίου ἐξελληνισθέντες 99 λόγοι περιέχουσι μόνον τὸ δεύτερον καὶ τρίτον βιβλίον καὶ τὴν πρὸς τὸν Συμεὼν ἐπιστολήν. Ἐν δὲ τῷ πρωτοτύπῳ διεσώθησαν σχεδὸν μόνον τὸ πρῶτον καὶ τὸ δεύτερον. Ἐν τῇ ἑλληνικῇ τοίνυν μεταφράσει ἐστὶ γνωστὸν ἔλαττον τοῦ ἡμίσεως τῶν ὑπὸ τοῦ Ἐβὲδ-Ἰησοῦ μνημονευομένων συγγραμμάτων τοῦ ἁγίου Ἰσαάκ (1).

Ὁ πνευματικὸς βίος διαγράφεται ἄριστα ἐν τοῖς λόγοις τοῦ ἐπ' ἀρετῇ καὶ σοφίᾳ πνευματικῇ καὶ τῇ διαβεβηκυίᾳ τῶν νοερῶν θεωρίᾳ θαυμασίου καὶ τρισολβίου Ἰσαάκ. Περὶ τῆς φυσικῆς καὶ πνευματικῆς γνώσεως λέγει ὁ ἱερώτατος ἀνὴρ τάδε:

« Ἔστι γνῶσις προηγουμένη τῆς πίστεως, καὶ ἔστι γνῶσις τικτομένη ἐκ τῆς πίστεως. Ἡ γνῶσις προηγουμένη τῆς πίστεώς ἐστι γνῶσις φυσική. Ἡ δὲ τικτομένη ἐκ τῆς πίστεως γνῶσίς ἐστι πνευματική. Ἔστι δὲ γνῶσις φυσικὴ διακρίνουσα τὸ καλὸν ἐκ τοῦ κακοῦ, ἥτις καὶ καλεῖται διάκρισις φυσική, ἐν ᾗ γινώσκομεν τὸ καλὸν ἐκ τοῦ κακοῦ φυσικῶς ἄνευ μαθήσεως. Ταύτην ἔθετο ὁ Θεὸς ἐν τῇ λογικῇ φύσει. Ἐκ δὲ τῆς μαθήσεως αὔξησιν καὶ προσθήκην λαμβάνει. Οὐκ ἔστι τις ὁ ταύτην μὴ ἔχων. Καὶ αὕτη ἡ δύναμις τῆς γνώσεως τῆς φυσικῆς τῆς λογικῆς ψυχῆς ἡ διάκρισίς ἐστι τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἡ κινουμένη ἐν αὐτῇ ἀπαύστως. Καὶ οἱ στερηθέντες αὐτῆς κά-

(1) Τὸ συριακὸν ἀπόγραφον τοῦ Ἀσσεμανίου περαίνεται ὧδε: «ἐπερατώθη τῇ βοηθείᾳ τοῦ Θεοῦ τὸ πρῶτον μέρος τῆς διδασκαλίας τοῦ Μὰρ Ἰσαὰκ τοῦ μοναχοῦ» (Assem. B. Or. T. 1. p. 160). Ὁ Ἄγγελος Μάϊος ποιεῖται λόγον περὶ συρ. ἀπογράφου τοῦ ὀγδόου αἰῶνος περιέχοντος 59 λόγους (Collect. Vet. Auct. T. V. p. 242), καὶ ἑτέρου τοῦ ἑβδόμου αἰῶνος, περιέχοντος 27 λόγους (ibid. 140). Ἡ ἀντιπαραβολὴ τοῦ ἀραβ. κειμένου πρὸς τὸ ἑλλ. καὶ τὸ συρ. εὕρηται παρ' Ἀσσεμανίῳ καὶ Νικηφ. Ἡ δὲ ἀντιπαραβολὴ ἔδειξεν, ὅτι ἔνιοι τῶν ἑλλην. λόγων διῄρηνται ἐν τῇ ἀραβ. μεταφρ. εἰς δύο. Οἱ ἑλλην. λόγοι ἐξεδόθησαν ὑπὸ Νικηφόρου τοῦ Θεοτόκη: Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰσαὰκ ἐπισκόπου Νινευῒ τοῦ Σύρου τὰ εὑρεθέντα Ἀσκητικά, ἐν Λειψίᾳ τῆς Σαξονίας ἔτει αψο'. Ἐν τῇ Βιβλ. τῶν Πατ. (T. XI) ὑπάρχει μακρὸς λόγος λατιν. μόνον ἐκδεδομένος, εἰς νγ'. κεφάλ. διῃρημένος, καὶ Ἰσαὰκ τῷ τῆς Ἀντιοχ. ψευδῶς ἐπιγεγραμμένος.

τωθεν τῆς λογικῆς φύσεώς εἰσιν. Οἱ δὲ ἔχοντες ταύτην ὀρθῶς ἐν τῇ ψυχικῇ φύσει ἵστανται, καὶ οὐκ ἔχουσί τινα ἀφανισμόν, ἐν οἷς ἔδωκεν ὁ Θεὸς τῇ φύσει πρὸς τιμὴν τῶν λογικῶν αὐτοῦ. Τοὺς δὲ ταύτην τὴν διάγνωσιν ἀπολέσαντας, τὴν διακρίνουσαν τὸ καλὸν ἐκ τοῦ κακοῦ, ὀνειδίζει ὁ προφήτης, λέγων: Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκεν (ψαλμ. μη΄. 13). Ἡ τιμὴ τῆς λογικῆς φύσεως, ἡ διάκρισίς ἐστιν ἡ διακρίνουσα τὸ καλὸν ἐκ τοῦ κακοῦ. Καὶ δικαίως τοὺς ἀπολέσαντας ταύτην ὡμοίωσε τοῖς ἀνοήτοις κτήνεσι, τοῖς μὴ ἔχουσι τὸ λογικὸν καὶ διακριτικόν. Ἐν ταύτῃ δυνατόν ἐστιν ἡμῖν εὑρεῖν τὴν ὁδὸν τοῦ Θεοῦ. Καὶ αὕτη ἐστὶν ἡ γνῶσις ἡ φυσική, καὶ αὕτη προηγεῖται τῆς πίστεως, καὶ αὕτη ὁδός ἐστι πρὸς τὸν Θεόν. Καὶ ἐν ταύτῃ γινώσκομεν τὸ καλὸν ἐκ τοῦ κακοῦ διακρῖναι καὶ δέξασθαι τὴν πίστιν. Καὶ μαρτυρεῖ ἡ δύναμις τῆς φύσεως, ὅτι πρέπει τῷ ἀνθρώπῳ πιστεῦσαι τῷ παραγαγόντι εἰς τὴν κτίσιν ταῦτα πάντα, καὶ πιστεῦσαι τοῖς λόγοις τῶν ἐντολῶν αὐτοῦ, καὶ ποιῆσαι αὐτούς. Καὶ ἐκ τοῦ πιστεῦσαι τίκτεται ὁ φόβος τοῦ Θεοῦ. Καὶ ὅτε ἀκολουθήσει τοῖς ἔργοις καὶ πρὸς μικρὸν ἀνέλθῃ πρὸς ἐργασίαν, τίκτει τὴν γνῶσιν τὴν πνευματικήν, ἣν εἴπομεν τίκτεσθαι ἐκ τῆς πίστεως ».

« Ἡ φυσικὴ γνῶσις, ἥτις ἐστὶν ἡ διάκρισις τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἡ ὑπὸ τοῦ Θεοῦ ἐντεθεῖσα τῇ φύσει ἡμῶν, αὐτὴ πείθει ἡμᾶς, ὅτι δεῖ πιστεύειν τῷ Θεῷ, τῷ παραγαγόντι τὰ πάντα. Καὶ ἡ πίστις ποιεῖ ἐν ἡμῖν τὸν φόβον, καὶ ἀναγκάζει ἡμᾶς ὁ φόβος μετανοῆσαι καὶ ἐργάσασθαι. Καὶ οὕτω δίδοται ἡ πνευματικὴ γνῶσις τῷ ἀνθρώπῳ, ἥτις ἐστὶν αἴσθησις τῶν μυστηρίων, ἥτις γεννᾷ τὴν πίστιν τῆς ἀληθοῦς θεωρίας. . . Αὕτη ἐστίν, ἣν εἴπομεν, ὅτι ὅνπερ ἐν τῷ βαπτίσματι ἐδεξάμεθα τὸν ἀρραβῶνα αὐτοῦ, διὰ τῆς μετανοίας πάντως δεχόμεθα τὸ χάρισμα αὐτοῦ. Καὶ τὸ χάρισμα, ὅπερ εἴπομεν, ὅτι διὰ τῆς μετανοίας λαμβάνομεν αὐτό, αὕτη ἐστὶν ἡ γνῶσις ἡ πνευματικὴ ἡ διὰ τῆς ἐνεργείας τοῦ φόβου διδομένη δόσις. Ἡ πνευματικὴ δὲ γνῶσίς ἐστιν ἡ αἴσθησις τῶν κρυπτῶν, καὶ ὅταν αἰσθηθῇ τις τούτων τῶν ἀοράτων καὶ κατὰ πολὺ ὑπερβαλλόντων, ἐκ τούτων λαμβάνει ὄνομα τῆς πνευματικῆς γνώσεως, καὶ γεννᾶται ἐν τῇ αἰσθήσει ταύτης πίστις ἄλλη, οὐκ ἐναντία οὖσα ἐκείνῃ τῇ

πρώτη, ἀλλὰ βεβαιοῦσα τὴν πίστιν ἐκείνην. Καὶ καλοῦσιν αὐτὴν πίστιν τῆς θεωρίας. Ἕως ἐκεῖ ἡ ἀκοή. Νῦν δὲ θεωρία· ἡ δὲ θεωρία τῆς ἀκοῆς ἀσφαλεστέρα ὑπάρχει. . . Ψυχὴ γὰρ ἡ ἅπαξ παραθεμένη ἑαυτὴν τῷ Θεῷ ἐν πίστει, καὶ ἐν πολλῇ πείρᾳ δεξαμένη τὴν γεῦσιν τῆς συνεργείας αὐτοῦ, πάλιν ἑαυτῆς οὐ φροντίζει· ἀλλὰ τῇ ἐκπλήξει καὶ τῇ σιωπῇ φιμοῦται, καὶ στραφῆναι πάλιν εἰς τοὺς τρόπους τῆς γνώσεως αὐτῆς, καὶ ἀναστρέφεσθαι ἐν αὐτοῖς οὐκ ἔχει ἐξουσίαν· μήπως ἐν τῇ ἐναντιώσει αὐτῶν στερηθῇ τῆς Προνοίας τοῦ Θεοῦ, τῆς κρυπτῶς ἐπισκεπομένης αὐτὴν ἀπαύστως, καὶ ἐπιμελουμένης αὐτῆς, καὶ ἀδιαλείπτως ἐξακολουθούσης αὐτῇ ἐν παντὶ τρόπῳ. Διότι ἐμωράνθη ὑπονοήσασα ἑαυτὴν ἱκανὴν οὖσαν προνοήσασθαι ἑαυτῆς ἐν τῇ δυνάμει τῆς γνώσεως αὐτῆς. Ἐν οἷς γὰρ τὸ φῶς τῆς πίστεως ἀνατέλλει, οὐκ ἔστι πάλιν ἀναισχυντοῦσιν ὑπὲρ ἑαυτῶν εὔξασθαι, οὐδὲ ἐξαιτήσασθαι παρὰ τοῦ Θεοῦ, δὸς ἡμῖν τόδε, ἢ λάβε ἐξ ἡμῶν τόδε, οὐδὲ φροντίζουσιν ἑαυτῶν κατὰ πάντα τρόπον. Διότι ἐν τοῖς νοεροῖς ὀφθαλμοῖς τῆς πίστεως ἐν πάσῃ ὥρᾳ θεωροῦσι τὴν Πρόνοιαν τὴν πατρικήν, ἐπισκιάζουσαν αὐτοῖς ἐξ ἐκείνου τοῦ Πατρὸς τοῦ ἀληθινοῦ, τοῦ ὑπερέχοντος ἐν τῇ Ἑαυτοῦ πολλῇ ἀγάπῃ τῇ ἀμέτρῳ πᾶσαν πατρικὴν ἀγάπησιν τοῦ δυναμένου καὶ ἰσχύοντος παρὰ πάντας συνεργῆσαι ἡμῖν ὑπερεκπερισσοῦ, ὑπὲρ ὃ αἰτούμεθα καὶ ἐνθυμούμεθα καὶ νοοῦμεν».

§. 237. Ἰωάννης ὁ Νηστευτής, Πατριάρχης Κωνσταντινουπόλεως.

Ἰωάννης ὁ Νηστευτής, Πατριάρχης Κωνσταντινουπόλεως, υἱὸς πτωχῶν γονέων, ὁρισθεὶς ὑπ᾽ αὐτῶν μόνον γενέσθαι τίμιος χειρῶναξ, ἠκροάσατο τῶν τοῦ πνευματικοῦ βίου διδασκαλιῶν παρά τινι μοναχῷ, συνοικοῦντι αὐτῷ(1). Ὁ Πατριάρχης Εὐτύχιος, μαθὼν τὰ κατὰ τὸν αὐστηρὸν ἀσκητήν, ἐχειροτόνησεν αὐτὸν διάκονον τῆς

(1) Νικηφ. Ἐκκλ. Ἱστορ. ιη΄. 34. Ὁ ὑπὸ τοῦ Π. Νικηφόρου συγγραφεὶς βίος τοῦ ἁγίου Ἰωάννου εὕρηται ἐν τοῖς χειρογρ. τῆς Βιβλιοθ. τῶν Παρισίων. Τοῦ βίου τούτου ἐποιήσατο μνείαν ἡ ἐν Νικαίᾳ Β΄ Σύνοδος κατὰ τὴν τετάρτην συνεδρίασιν. Du Cangius ad Zonaræ Comm. Can. 62.

μεγάλης Ἐκκλησίας. Ὁ Ἰωάννης ἐγένετο ταχέως τοσοῦτον περίβλεπτος ἕνεκα τῶν ἱερῶν τῆς ἀσκήσεως ἀγώνων καὶ τοῦ τῆς ἐγκρατείας ὑπερβάλλοντος, ὥστε τὸ τοῦ νηστευτοῦ ἐπώνυμον ἐγένετο χαρακτηριστικὸν αὐτοῦ ἐπώνυμον. Ἐκλεγεὶς Πατριάρχης, ἔγνω ἀπαλλαγῆναι διὰ φυγῆς τοῦ ὑψηλοῦ ἀξιώματος, ἀλλὰ μετεβουλεύσατο, ὀπτασίαν ἰδών(1). Ἀναβὰς τῷ 585 ἐπὶ τὸν πατριαρχικὸν θρόνον διετέλει νηστεύων, ὡς καὶ πρότερον, καὶ ἐγένετο πάνυ ἐλευθέριος πρὸς τοὺς ἐνδεεῖς (2). Ἡ τῷ 588 ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσα Σύνοδος, ἐν ᾗ παρῆσαν ἅπαντες οἱ Πατριάρχαι, οἱ μὲν αὐτοπροσώπως, οἱ δὲ δι' ἀπεσταλμένων, ἐπωνόμασε τὸν Ἰωάννην Οἰκουμενικὸν Πατριάρχην. Ὁ Πάπας Πελάγιος, μαθὼν τοῦτο, κατελήφθη ὑπ' ἄκρας ὀργῆς, καὶ ἠπήλησε τὸν Ἰωάννην ἀναθέματι(3)· ὁ δὲ διάδοχος τοῦ Πελαγίου Γρηγόριος ὁ Μ. ἐζηλοτύπησε μέχρις ἀφάτου κατὰ τοῦ θείου ἀνδρὸς ἕνεκα τῆς ἐπωνυμίας ταύτης, ἣν ἀπεκάλεσε διαρρήδην ἀντίθετον, ἀντίχριστον, καὶ διαβολικήν (4). Ἀλλὰ τὸ ἐπώνυμον τοῦτο ἀφ' ἑνὸς μὲν ἀπενέμετο καὶ τοῖς προκατόχοις τοῦ ἁγ. Ἰωάννου(5), ἀφ' ἑτέρου δὲ οὐ παρεῖχε τῷ πατριαρχείῳ τῆς Κωνστ]πόλεως ἰδιαίτερα δικαιώματα πλὴν τῆς δικαιοδοσίας τῶν ὑπὸ τὴν προστασίαν αὐτοῦ τεταγμένων ἐπισκ. τῆς Ἀνατολῆς. Γνωστὸν δ' ὅτι τὸ ἐπώνυμον τοῦτο ἀπενέμετο κατὰ τοῦτον τὸν χρόνον καὶ ἐν τῇ αὐτῇ ἐννοίᾳ τοῖς Ἀρχιεπισκόποις Ῥώμης καὶ Ἀλεξανδρείας. Καίπερ τῶν ῥωμαίων ἐπισκόπων οὐ παυομένων

(1) Gregor. Magn. ep. 38.

(2) Isidor. de Scriptor. eccles. c. 26.

(3) Gregor. ibid. Ἡ ἐπιστ. τοῦ Πελαγίου in Actis Consil. ap. Labbæum.

(4) Βλ. Ep. Lib. I. ep. 32. 34. 36. VI. 4. 5. 23. VII. 70.

(5) Καὶ] Ἰωάννης ὁ Καππαδόκης, ἑβδομήκοντα ἔτη πρὸ τοῦ Νηστευτοῦ, ἐκαλεῖτο Οἰκουμενικός. Καὶ ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς ἐν τῇ ἐπὶ Μηνᾶ τῷ 563 συγκροτηθείσῃ Συνόδῳ, ἐν ᾗ παρῆσαν καὶ τοῦ Πάπα ἀπεσταλμένοι, προσηγόρευεν οἰκουμενικοὺς Πατριάρχας τὸν Ἐπιφάνιον, τὸν Ἄνθιμον καὶ τὸν Μηνᾶν (Πρ. β'. δ'. ε'.). Τὸ ἐπώνυμον τοῦτο ἀπαντᾷ συχνῶς ἐν ταῖς Νεαραῖς τοῦ Αὐτοκράτορος τούτου. Novell. 3. 5. 7. 16. 42. 67. 79. Βλ. Basnag. Annal. polito-eccles. p. 977.

κατακρίνειν τὸ ἐπώνυμον τοῦτο, ὅμως ὁ ἐπὶ ἠπιότητι καὶ ταπεινοφροσύνῃ διαπρεπέστατος Ἰωάννης(1), ἐτήρησεν αὐτό, εὖ εἰδώς, ὅτι οὐδεμία ἐκ τούτου ἠδύνατο προσγενέσθαι αὐτῷ τε καὶ τῇ Ἐκκλησίᾳ βλάβη. Ὁ Γρηγόριος ἔγραψε τέλος πρὸς τὸν Ἰωάννην, εἰς σημεῖον κοινωνίας πρὸς αὐτὸν περί τινος πρεσβυτέρου, καταδικασθέντος ὑπὸ τῆς Συνόδου τῆς Ῥώμης· ἀλλ᾽ ὅτε ἡ ἐπιστολὴ αὕτη ἀφίκετο εἰς Κωνσταντινούπολιν, ὁ θεῖος ἀνὴρ οὐκ ἦν ἐν τοῖς ζῶσι, τελευτήσας τῷ 595. Μετὰ τοῦτο ὁ Γρηγόριος ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Μαυρίκιον ἐπιστολῇ αὐτοῦ ἀπέδωκε τὴν ὀφειλομένην δικαιοσύνην ταῖς ἀρεταῖς τοῦ πρὸς Κύριον ἐκδημήσαντος Πατριάρχου (2). Ὁ Αὐτοκράτωρ μετὰ τὴν τελευτὴν τοῦ Ἰωάννου εὗρε παρ᾽ αὐτῷ ξύλινον σκιμποδίσκον, ἐξ ἐρίου σισύραν, καὶ φαινόλην τινα ἀκαλλῆ (3). Ὁ Σωφρόνιος ἀποκαλεῖ τὸν Ἰωάννην ἀ ρ ε τ ῆ ς ο ἰ κ η τ ή ρ ι ο ν (4).

Ὁ Ἰωάννης δείκνυται ἐν τοῖς συγγράμμασιν αὐτοῦ μέγας ζηλωτὴς τῆς μετανοίας, καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας, τὴν δ᾽ ἔλλειψιν τῆς τέχνης ἀντικαθίστησιν ἐκφράσεσιν ἁπλοϊκῆς εἰλικρινείας καὶ πρᾳείας κατανύξεως.

Ἀξιόλογός ἐστιν ἡ παραινετικὴ αὐτοῦ ἐπιστολὴ π ρ ό ς τ ι ν α π α ρ θ έ ν ο ν τ ῷ Θ ε ῷ κ α θ ι ε ρ ω θ ε ῖ σ α ν (α). Ἐν αὐτῇ περιέχεται διδασκαλία πνευματικοῦ μύρου πνέουσα πρὸς ψυχὴν τὸν μοναδικὸν διαθλοῦσαν ἀγῶνα. Ὁ ἱεράρχης παραινεῖ μεθ᾽ ὑπομονῆς τὸν καλὸν ἀγωνίζεσθαι ἀγῶνα, ἀναγινώσκειν τὴν ἁγίαν Γραφὴν καὶ φυλάσσειν ἐν τῇ νηστείᾳ τὴν ἁγνότητα τῆς παρθενίας. Πόνημα αὐτοῦ ἐστιν ἐπ᾽ ἴσης ἡ ὁμιλία π ε ρ ὶ ψ ε υ δ ο π ρ ο φ η τ ῶ ν κ α ὶ ψ ε υ δ ο δ ι δ α σ κ ά λ ω ν, ἥτις, ὥσπερ καὶ ἡ π ρ ὸ ς Π α ρ θ έ ν ο ν ἐπιστολή, ἐκδέδοται ἐν τοῖς τοῦ θείου Χρυσοστόμου συγγράμμασιν, ἀλλ᾽ ἀμφότερα τὰ συγγράμματα ἀπολειπόμενα πολὺ τῆς εὐγλωττίας ἐκείνου(5). Ἐκ τῶν

(1) Τοῦτο γίγνεται κατάδηλον ἐκ τοῦ π ε ρ ὶ Μ ε τ α ν ο ί α ς βιβλίου αὐτοῦ.

(2) Lib. VI. ep. 6.

(3) Νικηφ. Ἐκκλ. Ἱστορ. ιη΄. 34.

(4) Παρὰ Φωτίῳ Ἀνάγν. σλα΄. σελ. 890. Ἡ μνήμη τοῦ ἁγίου Ἰωάννου τῇ ϐ΄. Σεπτεμβρίου.

(α) Ἡ ἐπιστολὴ αὕτη ἐπιγράφεται καὶ : ὁμιλία π ε ρ ὶ μ ε τ α ν ο ί α ς, κ α ὶ ἐ γ κ ρ α τ ε ί α ς, κ α ὶ π α ρ θ ε ν ί α ς. Σ. Μ.

(5) Ἡ μὲν ἐπιστολὴ ἐκδέδοται ἐν τῷ Α. Τόμ. τῶν συγγραμμάτων τοῦ Χρυσοστόμου, ἡ δὲ ὁμιλία ἐν τῷ ς΄. ἐκδ. Μορελλίου.

χειρογράφων γνωστοὶ ἔτι οἱ λόγοι αὐτοῦ : Περὶ ἐξόδου ψυχῆς, καὶ περὶ λειτουργίας (¹).

Τὰ συγγράμματα αὐτοῦ: Ἀκολουθία καὶ τάξις ἐπὶ ἐξομολογουμένων καὶ Λόγος πρὸς τὸν μέλλοντα ἐξαγορεῦσαι τὸν ἑαυτοῦ πνευματικὸν Πατέρα (²), εἰσὶ πάνυ σπουδαῖα. Περὶ τῆς γνησιότητος ἀμφοτέρων τούτων τῶν συγγραμάτων ἀμφέβαλλόν τινες διὰ τὴν πρὸς τοὺς ἁμαρτωλοὺς συγκατάβασιν· ἀλλὰ ματαίως· διότι ἡ συγκατάβασις τοῦ Ἰωάννου ἐξηγεῖται διὰ τῆς ἐπιθυμίας τοῦ μὴ ἀπομακρύνειν ἀπὸ τῆς ἱερᾶς ἐξομολογήσεως τοὺς ἁμαρτωλούς, ὧν ὁ ἀριθμὸς κατ' ἐκεῖνον τὸν χρόνον ἦν μέγας καὶ δι' οὓς ἡ πρότερον αὐστηρότης οὐκ ἐφηρμόζετο.

Ἰσιδώρῳ τῷ Ἱσπάλεως ἦν γνωστὴ ἐπιστολὴ τοῦ ἁγίου Ἰωάννου πρὸς τὸν ἐπίσκοπον Λέανδρον περὶ τοῦ μυστηρίου τοῦ Βαπτίσματος, ἐν ᾗ παρεῖχε συνηγμένας ἀθρόας τὰς περὶ τῆς τριττῆς καταδύσεως ἀποδείξεις καὶ ἀποφάνσεις τῶν πρὸ αὐτοῦ γενομένων θεοφόρων Πατέρων, ἀλλ' αὕτη οὐκ ἀφίκετο μέχρις ἡμῶν.

§. 238. Γρηγόριος ὁ Διάλογος· βίος αὐτοῦ.

Γρηγόριος Α', ὁ καὶ Μάγνος, ἢ Μέγας παρὰ τοῖς Δυτικοῖς, παρ' ἡμῖν δὲ συνήθως (ἀφ' ὧν ἐγνώσθη διαλόγων) Διάλογος ἐπωνυμούμενος, Ἀρχιεπίσκοπος Ῥώμης (³). Υἱὸς τοῦ ῥωμαίου γερουσιαστοῦ Γορδιανοῦ (α), καὶ αὐτὸς γερουσιαστὴς καὶ ἔπαρχος Ῥώμης, γενόμενος κύριος κληρονόμος τῆς περιουσίας τῶν γονέων αὐτοῦ, καθί-

---

(¹) Ὁ μὲν λόγος περὶ ἐξόδου ψυχῆς in Taurin. Cod. 148, ὁ δὲ περὶ λειτουργίας in Paris publ. Cod. 1282.

(²) Ἐξεδόθ. ὑπὸ Μορίνου.

(³) Ὁ βίος αὐτοῦ συνεγράφη α') ὑπὸ τῶν ἀρχαίων βιογράφων Παύλου τοῦ Διακόνου καὶ Ἰωάννου τοῦ διακόνου. β') ὑπὸ τοῦ Denys de Sainte Marthe, ἐκδότου τῶν συγγραμμάτων αὐτοῦ· γ') ὑπὸ ἕλληνος βιογράφου (Φωτίου Βιβλ. ἀνάγνωσις σνβ'.).

(α) Ἡ μήτηρ αὐτοῦ ἐκαλεῖτο Σιλβία καὶ ἐγένετο διαπρεπεστάτη ἐπ' εὐσεβείᾳ καὶ ἄλλαις πλείσταις χριστιανικαῖς ἀρεταῖς. Ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Διαλόγων καὶ τῇ τριακοστῇ ὀγδόῃ εἰς τὰ Εὐαγγέλια ὁμιλίᾳ αὐτὸς ὁ ἅγιος Γρηγόριος λέγει γεγονέναι ἕνα τῶν προγόνων αὐτοῦ Φήλικα τὸν Δ'. Σ. Μ.

δρυσεν ἐν Σικελίᾳ ἓξ μοναστήρια ἐκ τῶν ἰδίων, καὶ ἔπειτα ἀντήλλαξε τὰ μέγαρα ἀντὶ μικροῦ κελλίου ἐν ἑνὶ τῶν ὑπ᾽ αὐτοῦ καθιδρυθέντων μοναστηρίων. Τῷ 578 προὐχειρίσθη διάκονος, καὶ μετ᾽ οὐ πολὺ ἀπεστάλη εἰς Κωνσταντινούπολιν ὡς Ἀποκρισιάριος ὑπὸ τοῦ Πάπα Πελαγιανοῦ τοῦ Β΄ ἱκετεύσων τὸν Αὐτοκράτορα(γ) βοηθήσειν τῇ οὐ μόνον ὑπὸ τοῦ λοιμοῦ καὶ τῆς πείνης, ἀλλὰ καὶ ὑπὸ τῶν Λογγοβάρδων τὰ πάνδεινα πασχούσῃ Ρώμῃ. Διατρίβων ἐν Κωνσταντινουπόλει, ἐσπούδαζε κτήσασθαι ἀκριβεῖς γνώσεις περὶ τῶν ἱεροτελεστιῶν τῆς ἀνατολικῆς Ἐκκλησίας, ἔνθα μετὰ τοὺς Ἀποστόλους οὐκ ὀλίγοι ἄνδρες διέπρεψαν, ἐπὶ σοφίᾳ καὶ ἀρετῇ περικλεέστατοι. Τῷ 585 ἐπανῆλθεν εἰς Ρώμην, καὶ τῷ 590 ἐξελέγη Ἀρχιεπίσκοπος αὐτῆς. Κατὰ τὸ παράδειγμα τοῦ προκατόχου αὐτοῦ ἐκήρυξεν ἐπικίνδυνον τῇ πίστει τὴν λαμπρὰν ἐπωνυμίαν τοῦ οἰκουμενικοῦ Πατριάρχου, τὴν ἀπονεμηθεῖσαν τῷ ἁγίῳ Ἰωάννῃ τῷ Νηστευτῇ· ὁ Γρηγόριος ὑπετίθει, ὅτι ἡ ἐπωνυμία αὕτη σημαίνει ἐπίσκοπον ἁπάντων τῶν ἐπισκόπων, καὶ ἐπωνόμασεν ἑαυτὸν δοῦλον ἁπάντων τῶν ἱερέων(¹). Ἡ ταπεινοφροσύνη τοῦ Γρηγορίου ἦν ἀξία χριστιανικοῦ Ποιμένος, καὶ ὅμως πάνυ ὀλίγον ἐμιμήθησαν αὐτὸν οἱ διάδοχοι αὐτοῦ, οἵτινες ἐπωνόμασαν μὲν ἑαυτοὺς δούλους τῶν δούλων τοῦ Θεοῦ, πράγματι δὲ ἐγένοντο δεσπόται τῶν δεσποτῶν. Πάνυ δὲ λυπηρόν, ὅτι ὁ

(γ) Αὐτοκράτωρ τῆς Κωνσταντινουπόλεως ἦν τότε ὁ Τιβέριος, ὅς, ἀποθανόντος τοῦ Ἰουστίνου, ἐκυβέρνα μόνος τὴν αὐτοκρατορίαν. Σ. Μ.

(¹) « Ego-Cunctorum Sacerdotum servus sum, in quantum ipsi sacerdotaliter vivent. » Ep. 20. « Certe Petrus Apostolorum primus, *membrum* Sanctæ et universalis Ecclesiæ, Paulus, Andreas, Johannes, qui aliud, quam *singularium* sunt *plebiam capita*? Et tamen *Sub uno capite omnes capita*».Ep.18.«Ego per episcopatus onera servus sum omnium factus». Lib. IX. Ep. 44. Ὁ βιογράφος τοῦ Γρηγορίου Ἰωάννου λέγει, ὅτι ὁ Γρηγόριος—« πρῶτος ἁπάντων ἐκάλει ἑαυτὸν ἐν τῇ ἀρχῇ τῶν ἐπιστολῶν αὐτοῦ δοῦλον τῶν δούλων τοῦ Θεοῦ », ἀλλ᾽ οὐδαμῶς τοῦτό ἐστι ὀρθόν. Πρῶτος ἐχρήσατο ταύτῃ τῇ ἐπωνυμίᾳ ὁ μακάριος Αὐγουστῖνος (Ep. 217 ad Vitalem)· ἐν δὲ ταῖς ἐπιγραφαῖς τῶν ἐπιστολῶν τοῦ Γρηγορίου οὐχ ὑπάρχει· ἐν τρισὶν μόνον ἀπαντᾷ κατὰ χειρόγραφα οὐ πάνυ παλαιά.

Πατὴρ οὗτος ἐχάρη καθ᾽ὑπερβολήν, μαθὼν τὸν ἄδικον θάνατον τοῦ μὴ ἐκτελέσαντος τὰς ἀξιώσεις αὐτοῦ Αὐτοκράτορος Μαυρικίου, ἀντὶ τοῦ κατακρῖναι τὸν δολοφόνον τούτου Φωκᾶν(*). Πρὸς δὲ τὰς λοιπὰς σχέσεις ὁ Γρηγόριος οὐκ ἦν πρὸς ἑαυτὸν συγκαταβατικός. Πρὸς Λέανδρον τὸν Ἱσπάλεως ἔγραφεν: «οὐκ εἰμὶ νῦν τοιοῦτος, οἷον πρότερον ἐγίνωσκές με . . . . ἀνὴρ ἐνάρετος. . . . . . Μὴ οὐ τάσσομαι ἐν ἐκείνοις, περὶ ὧν γέγραπται: κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι;» (1). Καίπερ ἀείποτε σχεδὸν ἀσθενῶν, ἐπετέλει ἀκαμάτως τὰ ποιμαντικὰ αὐτοῦ καθήκοντα. Ἔπεμψεν εἰς Ἀγγλίαν τὸν ἡγούμενον τοῦ ἐν Ῥώμῃ μοναστηρίου αὐτοῦ Αὐγουστῖνον, ὃς τῷ 597 ἐβάπτισε τὸν βασιλέα ταύτης τῆς χώρας Ἐδιλβέρθον (2). Μετ᾽ἐνθέου ζήλου κατεπολέμησε καὶ διὰ γραφῆς καὶ ἐν συνόδοις τὴν σιμωνίαν· κατέπαυσε τὰς ἐν τῇ Ἐκκλησίᾳ ταραχάς· εἰσήγαγεν εἰς τὴν ἐκκλησιαστικὴν διοίκησιν κρείττονα τάξιν· ἐπέστρεψε πλείστους αἱρετικοὺς εἰς τὴν ὀρθοδοξίαν τῇ συνδρομῇ ἔσθ᾽ὅτε τῆς πολιτικῆς ἐξουσίας· ἡ φιλανθρωπία αὐτοῦ ἦν σπανιωτάτη· ἅπασι τοῖς διαφυγοῦσι τὴν ὠμότητα τῶν Λογγοβάρδων παρέσχε χρηματικὴν συνδρομήν· οὐκ ἐπαύετο ποιεῖσθαι δωρεὰς τοῖς μοναστηρίοις· τοῖς πτωχοῖς, κατὰ διαταγὴν αὐτοῦ, διένεμον τῇ πρώτῃ ἡμέρᾳ ἑκάστου μηνὸς ἄρτους λάχανα, καὶ ἰχθῦς (3). Ὁ ἅγιος Ποιμὴν ἐτελεύτησε τῷ 604ῳ σωτηρίῳ ἔτει (4).

§. 239. Ἑρμηνευτικὰ συγγράμματα καὶ ἠθικαὶ διδασκαλίαι· παρατηρήσεις περὶ δογμάτων.

Τά τε συγγράμματα (5) καὶ αἱ ἀποφάνσεις τοῦ ποιμένος τῆς Ῥώμης δεικνῦσιν, ὅτι οὐ διέπρεπεν ἐπὶ ἀγάπῃ πρὸς τὴν ἐκπαίδευσιν, οὔτε ἐπὶ ἐξόχῳ παιδείᾳ. Γνωστόν, ὅτι ἔψεξε πικρῶς τὸν ἐπίσκοπον Δεσιδέριον,

(*) Lib. II. Ep. 1. 38.
(1) Lib. 11. 57.
(2) Ep. Lib. V. 42.
(3) Ἰωάννης ὁ Διάκον. II. p. 51-59.
(4) Ἰωάννης ὁ Διάκον. αὐτόθ.— Ep. IX. 110. XI. 46. 109. IV. 18. IX. 3. Ἡ μνήμη τοῦ ἁγ. Γρηγορίου ἐπιτελεῖται τῇ ιβ΄. Μαρτ. ἔν τε τῇ ἑλλην. καὶ τῇ ρωμ. Ἐκκλησίᾳ.
(5) Ἐκδ. τῶν συγγραμμάτων: S. Gregorii I. op. omnia, St. Monach. (*San-Marthano*) Bened. T. 1-4. 7. Paris. 1705. Cum acessionib. ed. *Gallicoli*, Venet. 1766 -68. VVII. 4.

ἅτε δὴ ἀσχολούμενον περὶ τὴν ἐκμάθησιν τῆς γαμματικῆς ([1]). Περὶ ὀλίγου ἐποιεῖτο τὰ ἐν τοῖς συγγράμμασιν αὐτοῦ γλωσσικὰ σφάλματα, καὶ ἀτοπώτατον ἡγεῖτο ὑπάγειν τοὺς λόγους τῆς ἁγίας Γραφῆς τοῖς κανόσι τοῦ Δονάτου ([2]). Ἐξ αὐτῶν δὲ τῶν λόγων τοῦ μακαρίου Πάπα πρόδηλον, ὅτι οἱ σύγχρονοι αὐτῷ, ἐν οἷς καὶ ὁ Αὐτοκράτωρ Μαυρίκιος, οὐκ ἐθεώρουν αὐτὸν μεγαλόνουν ([3]).

Ἑρμηνευτικὰ συγγράμματα ἐγράφησαν ὑπὸ τοῦ ἁγ. Γρηγορίου ἱκανά. Ἡρμήνευσε τὸ βιβλίον τοῦ Ἰώβ, τὸ Ἆσμα τῶν Ἀσμάτων, τὸν Προφήτην Ἰεζεκιήλ, καὶ τὰ Εὐαγγέλια, ἀλλ᾽ οὐ μετὰ βαθείας γνώσεως τῆς ἁγίας Γραφῆς ([4]). Παράδειγ-

---

([1]) Ep. II. 54. ad Desiderium.

([2]) Ep. ad Leandrum. Οὐ μὴν ἀλλὰ ψευδὲς ὅτι ὑπὸ ζήλου παραθέρμου φλεγόμενος κατέκαυσε τὴν Παλατινὴν Βιβλιοθήκην, ἐν ᾗ διετηροῦντο πλεῖστα μνημεῖα τῆς ἑλληνικῆς καὶ ρωμαϊκῆς ἀρχαιότητος, φοβούμενος μὴ ἐκ τῶν ἐθνικῶν συγγραφέων βλαβῇ τὸ κῦρος τῶν Γραφῶν. Τὸν μῦθον τοῦτον πρῶτος ἔπλασεν ὁ κατὰ τὸν ιβ΄ αἰῶνα ἀκμάσας δυτικὸς συγγραφεύς J. Sarisburiensis (De Nug. Curial. Lib. II c. 24. Lib. VIII. c. 19.

([3]) Lib. V. 40. ad Mauricium Augustum, « In serenissimis jussinionibus suis Dominorum pietas, dum me de quibusdam redargnere studuit , parcendo mihi minime pepercit. Nam in eis urbane simplicitatis vocabulo me fatuum appellat».

([4]) Καὶ κατὰ τὴν ὑπόθεσιν καὶ κατὰ τὴν μαρτυρίαν τῶν ἀρχαίων, εἰς τὸν ἅγιον Γρηγόριον ἀνήκουσι : α΄) *Expositio in beatum Job, seu Moralium libri XXV*· β΄) *Homiliae XXII in Ezechielem*· γ΄) *Homiliae XI in Evangelia*: δ΄) ὁ Ἰλδεφόνσος ἔγραψεν, ὅτι ὁ Γρηγόριος « ἐν ἠθικῇ ἐννοίᾳ ἡρμήνευσε τὸ Ἆσμα τῶν Ἀσμάτων» (de vir. illustr. Script. eccles. c. I.). Ἐπιστολὴ (Lib. XII. ep. 24) αὐτοῦ τοῦ Γρηγορίου λέγει τὸ αὐτό. Ἀλλὰ πάνυ ἀμφίβολον, εἰ ἀνήκουσιν εἰς αὐτόν : *Expositio in librum I. Regum, qui et Samuelis dicitur, lib. VI.* Οὔτε οἱ σύγχρονοι, οὔτε ὁ Βέδας καὶ ὁ Ραβανὸς ἐγίγνωσκον τὸ σύγγραμμα τοῦτο. Ἡ λέξις αὐτοῦ ἐστιν ὁτὲ μὲν τῇ τοῦ Γρηγορίου παραπλησία, ὁτὲ δὲ πάνυ διάφορος αὐτῆς. Δοξασίαι τινὲς οὐδαμῶς ἀνήκουσιν εἰς αὐτόν. π. χ. ἡ περὶ τῶν ἐπιστημῶν ἀπόφανσις. (Exposit. l. IV. II. 1. Diolog. IV. 25). Ἀμφίβολον ἐπίσης εἰ ἐγράφη ὑπὸ τοῦ Γρηρορίου *Expositio in septem Psalmos poenitentiales*, ἣν ἠγνόουν οἱ ἀρχαῖοι. Ἡ *Con-*

μα τῶν ἑρμηνειῶν αὐτοῦ: ἀποδεχόμενος τὸν Ἰὼβ ὡς τύπον τοῦ πάσχοντος Χριστοῦ καὶ τῆς Ἐκκλησίας, ἓν σῶμα μυστικὸν ἀποτελούντων, ὁρᾷ μὲν ἐν τῇ συζύγῳ αὐτοῦ, ἣ προτρέπει αὐτὸν εἰπεῖν τι ρῆμα εἰς Κύριον, εἰκόνα τοῦ σαρκικοῦ βίου, ἐν δὲ τοῖς τρισὶν αὐτοῦ φίλοις—τοὺς αἱρετικούς, οἵτινες ὑπὸ τὸ πρόσχημα τοῦ παρηγορεῖν σπουδάζουσιν ἀπατᾶν τοὺς πιστούς, ἐν δὲ τοῖς ἑπτὰ υἱοῖς—τὰ ἑπτὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος. Μόνον αἱ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων καὶ τὰ Εὐαγγέλια ἑρμηνεῖαι διαπρέπουσιν ἐπὶ ἑρμηνευτικῇ τινὶ ἀξίᾳ. Οὐ μὴν ἀλλὰ τὰ ἑρμηνευτικὰ αὐτοῦ πονήματα μὴ ἔχοντα σπουδαιότητα, ὡς ἑρμηνεία τῆς Γραφῆς, εἰσὶν ὅμως ἀξιολογώτατα ὡς πρὸς τὰς ἐν αὐτοῖς ἠθικὰς διδασκαλίας.

Ὁ ἅγιος Γρηγόριος ἦν ὄντως μέγας ὡς πρὸς τὴν ἠθικὴν διδασκαλίαν.

1) Τὸ βιβλίον τοῦ ποιμαντικοῦ κανόνος (Liber regulæ pastoralis) περιέχει διδασκαλίας τοῖς ποιμέσι τῆς Ἐκκλησίας. Τὸ βιβλίον τοῦτο διαιρεῖται εἰς τέσσαρα μέρη. Τὸ πρῶτον πραγματεύεται περὶ τοῦ οἷον δεῖ εἶναι τὸν βουλόμενον ἀναδέξασθαι τὴν κυβέρνησιν τῶν ψυχῶν. Τὸ δεύτερον πραγματεύεται περὶ τοῦ βίου τῶν ποιμένων. Τὸ τρίτον περὶ τοῦ δεῖν τὸν ποιμένα διδάσκειν τοὺς πιστούς, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον. Τὸ τέταρτον διδάσκει τὸν ποιμένα προσέχειν ἑαυτῷ, αὐστηρῶς, ἵνα μή, ἄλλους θεραπεύων, μείνῃ αὐτὸς ἀσθενὴς καὶ ἐντεῦθεν διαφθείρῃ ἄλλους. Τὸ σύγγραμμα τοῦτο μεθηρμηνεύθη ἑλληνιστί, ζῶντος ἔτι τοῦ Αὐτοκράτορος Μαυρικίου ὑπὸ τοῦ Πατριάρχου Ἀντιοχείας Ἀναστασίου, ἐν δὲ τῇ Δύσει ἐγένετο δεκτὸν ὡς βιβλίον ἀναγκαῖον παντὶ ἱερεῖ καὶ παντὶ ἐπισκόπῳ.

2) Οἱ Διάλογοι (Dialogorum libr. IV.), περὶ βίου καὶ θαυμάτων τῶν Ἰταλικῶν Πατέρων, καὶ ψυχῶν ἀθανασίας πραγματευόμενοι, τακτέοι ἐπίσης ἐν τοῖς ἠθικοῖς συγγράμμασι. Τὸ σύγγραμμα δὲ τοῦτο μεθηρμηνεύθη μετὰ ρνε´ ἐνιαυτοὺς (τῷ 745) ἑλληνιστὶ ὑπὸ Ζαχαρίου τοῦ Πάπα, καὶ ἐν τῷ τέλει τοῦ η´ αἰῶνος ἀραβιστί. Τὰς διηγήσεις δ' αὐτοῦ δανείζεται ὁ θεῖος Πατήρ, ὡς αὐτὸς λέγει [1], τὸ μὲν ἐκ τῶν πρὸς Ἰταλοὺς Πατέρας ἰδίων δια-

---

cordia quarundam testimoniorum S. Scripturae ἐστὶν ἐκλογὴ ἐκ τῶν συγγραμμάτων τοῦ Γρηγορίου, καὶ ἄγνωστον ὑπὸ τίνος τῶν ἀρχαίων ἐγένετο.

(1) Ep. Lib. III. ep. 50.

λόγων, τὸ δ᾽ ἐκ πληροφοριῶν, ἃς αἰτήσαντι παρέσχεν αὐτῷ ὁ Συρακουσῶν ἐπίσκοπος Μαξιμιλιανός ([1]). Διὰ τοῦτο δὲ τὸ σύγγραμμα ἐπωνομάσθη ὁ Γρηγόριος ὑπὸ τῶν Ἑλλήνων Διάλογος ([2]). Τὸ γνήσιον αὐτοῦ ἐστιν ἀναμφήριστον ([3]). Πολλαὶ τῶν διηγήσεων αὐτοῦ ὑπάρχουσιν ἐν τῷ Μηναίῳ ([4]).

3) Αἱ ἐπιστολαὶ τοῦ ἁγίου Γρηγορίου, τὸν ἀριθμὸν 880, περιέχουσι πολλὰς ἠθικὰς διδασκαλίας, καὶ πολλὰ ἀφορῶντα εἰς τὴν ἐκκλησιαστικὴν εὐταξίαν τῆς Δύσεως([5]). Ἐν τῇ πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς ἐπιστολῇ διαγράφει ἄριστα τὸν καλὸν ποιμένα ([6]).

Ὡς πρὸς τὰ δόγματα τῆς πίστεως εἰς μάτην ἐζητοῦμεν ἂν ἐν ταῖς ἐπιστολαῖς τοῦ μακαρίου Πάπα ἀκριβῆ ἔρευναν δόγματός τινος· διότι παρ᾽ αὐτῷ, καίπερ πάνυ εὐσεβεῖ ὄντι, οὔτε ἀκριβὴς ἑρμηνεία εἰς τὴν ἁγίαν Γραφήν, οὔτε ἀγάπη πρὸς ὀρθὰ συμπεράσματα ἐννοιῶν ἐκ γνωστῶν ἀρχῶν ὑπάρχουσιν. Ἐντεῦθεν οὐδαμῶς θαυμαστὸν, εἰ ἀπαντᾷ ἐν τοῖς συγγράμμασιν αὐτοῦ ἡ περὶ τοῦ καθαρτηρίου πυρὸς διδασκαλία. Πρῶτος ἤρξατο λέγειν τῇ Δύσει περὶ αὐτοῦ, παρερμηνεύων ῥῆσιν τῆς ἁγίας Γραφῆς (Κορινθ. Α΄. γ΄. 13) ([7]).

§. 240. Συγγράμματα ἀφορῶντα εἰς τὴν λατρείαν.

Ἰδιάζοντα ζῆλον ἔδειξεν ὁ Γρηγόριος ὡς πρὸς τὴν διάταξιν τῆς ἐκκλησιαστικῆς λατρείας.

([1]) Dialog. I. 7.

([2]) Synodus Photiniana an. 879. ap. Mans. T. XVII. p. 425.

([3]) Ὁ συγγραφεὺς τῶν Διαλόγων ἦν μοναχὸς ρωμ. μοναστηρίου, ὑπ᾽ αὐτοῦ καθιδρυθέντος (Lib. III. 33. IV. 21. 38. 47.), ἀποκρισάριος ἐν Κων]πόλει (111. 36), Πάπας Ρώμης (111. 16.). Οἱ Διάλογοι ἀποδίδονται τῷ Γρηγορίῳ ὑπὸ Πατερίου μαθητοῦ τοῦ Γρηγορίου, Ἰσιδώρου ἐπ. Ἰσπάλεως (de Script. c. 27), Ἰλδεφόνσου (de Scrpit. c. I.), Βέδα (Hist. Angl. II. 1.), καὶ ὑπὸ Ἰωάννου τοῦ Διακόνου (Hist. Longob. IV. 2).

([4]) Ἰαν. κε΄. Φεβρ. β΄. ιβ΄, κθ΄. Μαΐου ις΄. κγ΄. Ἰουν. κζ΄. Ἰουλ. ι΄. ιε΄. ιζ΄.

([5]) Περὶ τῆς Ε΄. οἰκουμεν. Συνόδου Lib I. ep. 24. III 2-4. 37. V. 64. VII. 57. Ἐν τῇ πρὸς Λέανδρον ἐπ. (Lib. I. 43.) περὶ τῆς ἐν τῷ Βαπτίσματι τριττῆς καταδύσεως. Περὶ τῆς ἐλευθερίας τῶν μοναχῶν (Lib. VIII. ep. 18.). Ἐν τῇ ἐπ. πρὸς Εὐσέβιον τὸν Θεσσαλονίκης (Lib. XI. ep. 69) περὶ τοῦ ἀπατεῶνος Ἀνδρέου.

([6]) Lib. I. ep. 25.

([7]) Dialog. IV. 7. 25. 39. 57.

Ὅπως εἰσαγάγῃ κρείττονα ψαλμῳδίαν εἰς τὴν δυτικὴν Ἐκκλησίαν, ἵδρυσε μουσικὴν σχολήν, ἐν ᾗ ἐδίδασκε καὶ αὐτός. Μέχρι τοῦ νῦν ἐστι γνωστὸν τὸ μέλος τοῦ Γρηγορίου (Cantus gregorianus), τὸ ἄλλως καλούμενον ὁ μ α λ ὸ ν μ έ λ ο ς (Cantus planus) καὶ σ τ ε ρ ρ ὸ ν μ έ λ ο ς (Cantus firmus). Τοῦτό ἐστιν ἁπλοῦν μέλος ἄνευ μέτρου ἢ ρυθμοῦ, εὐσεβὲς μέλος. Τοῦ μέλους τούτου γίγνεται χρῆσις μέχρι τοῦ νῦν κατ᾽ ἐξοχήν, λειτουργοῦντος τοῦ Πάπα.

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγ. Γρηγορίου εἰσὶ νῦν γνωστά: α´) τ ὸ β ι β λ ί ο ν τ ῶ ν μ υ σ τ η ρ ί ω ν (Liber Sacramentorum ἢ Sacramentarium Gregorianum), ἢ ἀκολουθίαι τῶν μυστηρίων καὶ ἰδίως τῆς ἁγίας Εὐχαριστίας· β´) τὸ Ἀ ν τ ι φ ω ν ά ρ ι ο ν (Antiphonarium), ἢ συλλογὴ Ἀντιφώνων· γ´) ἡ ἀκολουθία τῶν Ε ὐ λ ο γ ι ῶ ν (Benedictionale), ἢ τελεταὶ τῆς εὐλογίας ἐν διαφόροις περιστάσεσι τοῦ βίου. Ὡς πρὸς τὸ Benedictionale οὐδεμία ἀμφιβολία, ὅτι οὐκ ἔστι πόνημα τοῦ ἁγίου Γρηγορίου (1). Τὰ δύο ἄλλα συγγράμματα δύναταί τις ἀποδέξασθαι, ὅτι ἐγράφησαν ὑπ᾽ αὐτοῦ, εἰ καὶ πολλὰ εἰσήχθησαν κατόπιν εἰς αὐτά (2).

---

(1) Ὁ Λαμβέκιος ἐξέδωκε (in Comm. Vindob. l. II. c. 5.) τὸ *Benedictionale* τοῦ Γρηγορ. ὡς γνήσιον αὐτοῦ σύγγραμ. τέως ἄγνωστον. Ἀλλὰ τὸ πλεῖστον μέρος τοῦ βιβλίου κατεχωρίσθη ἐν τῇ μεναρδίῳ ἐκδόσει τοῦ Sacramentarii. Αἱ προσθῆκαι τοῦ ἀπογράφου τοῦ Λαμβεκίου ἐξεδ. ὑπὸ τῶν Βενεδικτινῶν. Τὸ νόθον τοῦ συγγράμματος τούτου δεικνῦσιν οἱ λόγοι τοῦ Π. Ζαχαρίου περὶ τοῦ ἀγνώστου τῶν Ε ὐ λ ο γ ι ῶ ν ἐν τῇ ἀρχαίᾳ ῥωμαϊκῇ Ἐκκλησίᾳ. Οὗτος γράφει: «Pro benedictionibus, quas faciunt, Galli, ut nosti, frater, multis vitiis variantur. Nam non ex apostolica traditione hoc faciunt, sed per vanam gloriam adhibentes sibi damnationem. Regulam itaque catholicæ traditionis, quam a Romana Ecclesia, cui, Deo auctore, inservio, accepisti, omnibus praedica». Ep. XII ad Bonifacium.

(2) Τετράκις ἐξέδωκαν ἐξ ἀρχαίων ἀπογράφων τὸ *Sacramentarium*, ἀλλὰ καὶ αἱ 4 ἐκδόσεις εἰσὶν ἀνόμοιαι· α´) ἀρχαιοτάτη ἁπασῶν τῶν ἐκδόσεών ἐστιν ἡ τοῦ Ἰακώβου Παμελίου. Missale S. Patrum sive liturgicon latinum, Coloniæ, 1570.1590. Ὁ Παμέλιος ἠκολούθησε τῇ διασκευῇ τοῦ μοναχοῦ Γριμόλδου, ἀκμάσαντος περὶ τὸ 849. β´) ὁ Ἄγγελος Ῥόκκα ἐξέδωκεν ἐξ ἀρχαίων ἀπογράφων ἰδίως τοῦ βατικανείου, *Sacramentari-*

Οὐδεμία ἀμφιβολία, ὅτι ὁ θεῖος Πατὴρ ἐσπούδασε ἐπιδιορθῶσαι τὴν ἐν μέρει μὲν διαφθαρεῖσαν, ἐν μέρει δὲ ἐλλιπῆ ρωμαϊκὴν ἐκκλησιαστικὴν Ἀκολουθίαν καὶ μάλιστα κατὰ τὸ πρότυπον τῆς ἑλληνικῆς λατρείας. Ἰδοὺ τὶ αὐτὸς ἔγραφε πρὸς τὸν ἐπίσκοπον τῶν Συρακουσῶν: « Ὁ ὕμνος Ἀλληλούϊα, κατὰ τὴν παράδοσιν τοῦ μακαρίου Ἱερωνύμου, ἐλήφθη ἐκ τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων κατὰ τοὺς χρόνους τοῦ μακαρίου Πάπα Δαμάσου . . . Κύριε ἐλέησον δὲ ἡμεῖς οὔτε εἴπομεν, οὔτε λέγομεν, ὡς λέγεται ὑπὸ τῶν Ἑλλήνων,

---

um S. gregorii, *Romae*, 1597, μετὰ σημειώσεων· γ΄) ὁ σοφὸς Βενεδικτινὸς Οὔγων Μενάρδος ἐξέδωκεν αὐτὸ Paris, 1642 μετὰ μακροῦ κριτικοῦ ὑπομνήματος. Ἡ ἔκδ. αὕτη κατεχωρίσθη ἐν τῇ μεγάλῃ βενεδικτ. ἐκδόσει τῶν συγγραμμάτων τοῦ ἁγ. Γρηγορίου: Op. T. III. p. 1-540 μετὰ τῶν σημειώσεων τοῦ Ῥόκκα καὶ τοῦ Μενάρδου καὶ μετὰ τῶν συμπληρώσεων τοῦ Sacramentarii· ὁ Μενάρδος ἠκολούθησε τῇ διασκευῇ τοῦ Ροδράδου, ἀκμάσαντος περὶ τὸ 843. Ἡ διασκευὴ αὕτη διακρίνεται τῆς τοῦ Γριμόλδου τὸ μὲν τῷ διαλείμματι τῶν οὕτω καλουμένων *Collecta*, τὸ δὲ τῷ ὅτι ἐν αὐτῇ ὑπάρχουσί τινα, ἅτινα οὐχ ὑπάρχουσιν ἐν τῇ τοῦ Γριμόλδου. π. χ. ἡ ἀκολουθία τοῦ βαπτίσματος τῶν ἀσθενῶν δ΄) ὁ περικλεὴς ἀρχαιολόγος Μουρατόριος ἐξέδωκε τὴν Λειτουργίαν ἐκ δύο ἀπογράφων καὶ κατ' ἐξοχὴν ἐκ τοῦ Ὀττοβονίου ἀπογρ. τοῦ θ΄ αἰῶνος. (Litourgia Romana vetus, Venet. 1748.) Ἐπὶ τῆς ἐκδόσεως ταύτης ἐγένετο ἡ διασκευὴ τοῦ Ἀλκουΐνου Ἀλβίνου, γράψαντος ἐν τῷ προλόγῳ, ὅτι προσέθηκε μέρη τινὰ ἐκ τῶν ἄλλων Σακραμενταρίων, ἀλλ' ἔθηκεν αὐτὰ κεχωρισμένως τοῦ γρηγοριανοῦ, ἵνα μὴ συγχέωσι τὸ πόνημα αὐτοῦ (τοῦ Γρηγορίου) ἀλλοτρίῳ. Τὸ κείμενον τοῦ Μουρατορίου ἐστὶ συντομώτερον ἁπάντων τῶν ἄλλων, καὶ ἀναμφηρίστως πλησιέστερον τῶν ἄλλων τῷ πρωτοτύπῳ. Ἡ ἔκδοσις τοῦ Μενάρδου διαπρέπει πλέον ἁπασῶν τῶν ἄλλων ἐπὶ ἀλλοτρίαις προσθήκαις. Βλ. *Krazer* de apostol. nec non antiquis Ecclesiæ occidentalis Liturgiis Aug. Vindel. 1786. *Binterim* Denkwaerdigk Kathol. Kirche, 4 B. 3. th. f. 28-45. Mainz, 1838. *Augusti*. Archaesl. 3. B. s. 262-68. 8. B. s. 355-72. 468. *Lau* gregor. d. gros. Leips. 1845. f. 251-257. 272-296. Τὸ Ἀντιφωνάριον τοῦ Γρηγορίου ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ Παμελίου Liturgicum Latinum, Colon. 1592. Ἡ ἔκδ. τοῦ Καρδηναλ. Τομασίου, Romæ, 1691 μετὰ πολλῶν σημειώσ. κριτ. καὶ ἑρμην. ἐπανελήφθη· op. omn. Thomasii T.

διότι παρὰ μὲν τοῖς ἕλλησιν ἅπαντες λέγουσιν ὁμοῦ τοῦτο, παρ' ἡμῖν δὲ μόνον ὁ κλῆρος, καὶ ὁ λαὸς ἀποκρίνεται εἰς τοῦτο. Τοσαυτάκις δὲ λέγεται ἔτι: Χ ρ ι σ τ ὲ ἐ λ έ η σ ο ν , ὅπερ παρὰ τοῖς Ἕλλησιν οὐδαμοῦ λέγεται . . . Τὴν δὲ Κυριακὴν Προσευχὴν διὰ τοῦτο λέγομεν μετὰ τὴν εὐχήν· διότι κατὰ τὸ ἀποστολικὸν ἔθος ταύτῃ ἐτελεῖτο ὁ ἁγιασμὸς τῆς θυσίας. Καὶ λίαν ἀπρεπὲς ἔδοξέ μοι ἀπαγγέλλειν κατὰ τὸν ἁγιασμὸν τὴν εὐχήν, ἣν σχολαστικός (η) τις συνέταξε, τὴν δ' ὑπ' Αὐτοῦ τοῦ Κυρίου παραδοθεῖσαν Προσευχὴν μὴ ἀπαγγέλλειν ἐπὶ τοῦ Σώματος καὶ Αἵματος Αὐτοῦ» ([1]). Ὁ Benigne-de Dijone, τὸ μὲν διασαφῶν τοὺς λόγους τοῦ ἁγίου Πατρός, τὸ δὲ συμπληρῶν αὐτούς, διαγράφει τοὺς πόνους αὐτοῦ ὡς πρὸς τὴν λειτουργίαν ὧδε: « Ὁ μακάριος Γρηγόριος ὥρισεν ἐν τῇ ρωμαϊκῇ Ἐκκλησίᾳ πρὸς παραμυθίαν τῶν ἀκροωμένων ψάλλειν ἀντίφωνον, καλούμενον ε ἰ σ ο δ ι κ ὸ ν (introitus). Τοῦτο ἔλαβεν ἐκ τῆς Ἐκκλησίας τῶν Μεδιολάνων (ὁ δὲ Ἀμβρόσιος ἔλαβεν ἐκ τῆς Ἐκκλησίας τῆς Ἀνατολῆς) . . . Ἔπειτα ὥρισεν ἵνα ψάλλῃ ὁ κλῆρος ἐννεάκις τὸ Κ ύ ρ ι ε ἐ λ έ η σ ο ν (ἀντὶ τῆς ἀνατολικῆς ἐκτενοῦς), καὶ μετὰ τὸν Ἀπόστολον τὸ *gradale* (στίχ. ψαλμ. τῶν Ἀναβαθμῶν) καὶ τὸ Ἀ λ λ η λ ο ύ ϊ α, ἐξαιρουμένου τοῦ χρόνου τῆς Μ. Τεσσαρακοστῆς μέχρι τοῦ Πάσχα, ὅτε ὥρισεν ἵνα ψάλλωνται *tractus* (λυπηροὶ στίχοι τῆς Π. Διαθήκης). Μετὰ τὴν ἀνάγνωσιν τῶν Εὐαγγελίων, ὅτε προσφέρονται αἱ προσφοραί, ὥρισε ψάλλεσθαι τὸ *Offertorium* (στίχ. τῆς Π. ἢ τῆς Κ. Δ.). Πλὴν τούτου προσέθηκε τῷ Κανόνι ***Dies que noctros*** κ. τ. λ. Ὥρισε ψάλλειν τοῦτο καὶ τὴν Κυριακὴν Προσευχὴν τὸν ἱερέα μεγαλοφώνως ἐπὶ τῆς ἁγίας Εὐχαριστίας· τὴν δ' ἑπομένην εὐχήν: Libera nos, Domine, ab omnibus malis, ἥτις ἐψάλλετο μέχρι τοῦ νῦν μεγαλοφώνως, προσέταξε λέγεσθαι μυστικῶς. Μετὰ τὴν κλάσιν τῆς Εὐχαριστίας, ὅτε ἤδη μεταλαμβάνουσι, διέ-

IV. Ἐν τῇ μεγάλῃ ἐκδ. τῶν συγγραμμάτων τοῦ Γρηγορίου ὑπάρχουσιν αἱ αὐταὶ σημ. Τ. III. p. 653-878. Ἐν αὐτῇ πολλαὶ προσθῆκαι κατόπιν γενόμεναι. *Augusti* B. 3. Th. I. f. 256-258.

(η) Δηλ. σοφὸς καὶ πολυμαθὴς ἀνήρ. Σ. Μ.

([1]) Ep. Lib. IX. ep. 12.

ταξε ψάλλεσθαι τὸ Ἀντίφωνον, τὸ καλούμενον ***Post communioaem***, μετὰ τὴν μετάληψιν» ([1]).

Ἡ ρωμαϊκὴ Ἐκκλησία διϊσχυρίζεται, ὅτι ἡ νῦν ρωμαϊκὴ Λειτουργία ἐστὶν ἡ τοῦ ἁγ. Γρηγορίου. Ἀντὶ τοῦ διεξετάσαι καθ' ἓν ἕκαστον αὐτήν, δείξομεν μόνον τὰ ἐν αὐτῇ καταπληκτικώτατα ἀλλόκοτα, ἃ ἀδύνατον καὶ ὑποθεῖναι γεγράφθαι ὑπὸ τοῦ θείου Πατρός.

1. Αἱ ἱεροτελεσίαι ὁρίζονται ἐν τῷ ρωμ. λειτουργικῷ μετ' ἀκριβείας πάνυ μικρολόγου καὶ περιττῆς. Ὁ ἱερεὺς οὐ δύναται κινεῖν τὸν δάκτυλον, ἀνατείνειν τὰς χεῖρας, αἴρειν τοὺς ὀφθαλμοὺς εἰς οὐρανὸν ἄλλως ἢ ὡς ὥρισται ἐν αὐτῷ. Ἅπασα ἡ ἱερουργία ἐστὶ σειρὰ σωματικῶν κινήσεων, μηχανικῶν, ἀψύχων καὶ ἐνίοτε θεατρικῶν. Οὕτως ἆρά γε εἶχε τοῦτο ἐπὶ τοῦ ἁγίου Γρηγορίου ; Ἀδύνατον. Ἡ σκηνικὴ προσποίησίς ἐστιν ἔργον τῶν ζοφερῶν χρόνων τῆς Δύσεως. Ἐκ τούτου ἡ τηλικαύτη ἀσυμφωνία τῶν ἀπογράφων τοῦ λειτουργικοῦ ὡς πρὸς τοῦτο.

2. Ὀφείλομεν ἆρά γε εἰπεῖν, ὅτι οὐκ ἦσαν γνωστὰ ἐπὶ τοῦ ἁγίου Γρηγορίου τὰ ἄζυμα; Ἐν τῷ βίῳ αὐτοῦ, τῷ ὑπὸ τοῦ διακόνου Ἰωάννου γραφέντι ἀναγινώσκομεν, ὅτι γυνή τις ἐπ' αὐτοῦ ἀμφέβαλλε περὶ τῆς πραγματικῆς παρουσίας τοῦ Σωτῆρος Χριστοῦ ὑπὸ τὸ εἶδος τοῦ ἄρτου διὰ τὸ εἶναι τὸν ἄρτον ὅμοιον τῷ ἐν τῇ κατ' οἶκον χρήσει ([2]). Τὰ ἄζυμα εἰσήχθησαν εἰς γενικὴν χρῆσιν ἐν τῇ Δύσει οὐ πρὸ τοῦ δεκάτου αἰῶνος. Ψυχρανθέντος τοῦ πρὸς τὴν θείαν λατρείαν ζήλου τῶν χριστιανῶν, ἐπαύσαντο παρὰ τὸ ἀρχαῖον ἔθος, προσφέρειν ἄρτον διὰ τὴν Εὐχαριστίαν, ἢ προσέφερον μέν, ἀλλ' ἀνάξιον τοῦ ἁγίου ἔργου. Τοῦτο ἕνεκεν ὡρίσθη χρῆσθαι ἀζύμοις, ἅτινα πάνυ ταχέως καὶ ῥᾳδίως δυνατὸν ἑτοιμάζειν ([3]). Ταύτην δὲ τὴν καινοτομίαν σφοδρῶς κατέκρινον οἱ εὐσεβεῖς ἐν αὐτῇ τῇ Δύσει ([4])· ἀλλ' ἡ ὑπερήφανος ἀμάθεια μετέβαλλε τὴν ἀνάγκην ταύτην εἰς δόγμα.

([1]) *Muratorii* Antiquit. ital. III. 601. *Cerbertus* de Cantu. S. I. 160.

([2]) Vit. Greg. Magn. lib. 11. c. 41.

([2]) Card. *Bona* ver. Liturg. lib. I. c. 23. §. 29. p. 1. 685. *Bergier*. Encycl. Theol. ἐν τῇ λ. *Azyme*.

([3]) Bernoldus presb. Constantiæ de ordine Romano ap. Cassandrum in Liturgicis. c. 27. Bona rev. Liturg. 1. c. 23. §. 9. ed Paris. 1672.

3. Ἐν τῇ πρώτῃ εὐχῇ τοῦ κανόνος τῆς λειτουργίας δέεται τοῦ Θεοῦ ἡ ρωμαϊκὴ Ἐκκλησία « ἀξιῶσαι τὴν καθολικὴν (δηλ. τὴν ρωμαϊκὴν) Ἐκκλησίαν κυβερνᾷν ἅπαντα τὸν κόσμον». Ἠδύνατο ἆρά γε ὁ ἅγιος Γρηγόριος προσεύχεσθαι τοιούτῳ τρόπῳ ; Οὐκ ἐκάλει αὐτὸς ἑαυτὸν δοῦλον τῶν ἱερέων τοῦ Θεοῦ ; (θ). Ἠδύνατο μὴ φοβεῖσθαι τὸ κοσμικὸν μεγαλεῖον ἐν τῷ ταπεινῷ τῆς Ἐκκλησίας ποιμένι ; Οὐχί, οὕτω προσηύχετο Γρηγόριος ὁ Ἱλδεβράνδος, οὐχὶ δ᾽ ὁ ἅγιος Γρηγόριος!

4. Ἐν τῷ ρωμαϊκῷ λειτουργικῷ τῶν λόγων τοῦ Σωτῆρος : « Τοῦτό μού ἐστι τὸ σῶμα,- Τοῦτό ἐστι τὸ αἷμά μου» προτέτακται ἡ σημείωσις : « αὐτοῖς ἁγιάζονται τὰ ἅγια Δῶρα ». Ὁ Τερτυλλιανός ([1]), ὁ Ὄπτατος ([2]), ὁ Ἱερώνυμος ([3]), ὁ Αὐγουστῖνος ([4]), αὐτὸς ὁ ἅγιος Γρηγόριος ([5]), ἐδίδασκον σαφῶς, ὅτι πρὸς τὸν ἁγιασμὸν τῶν Δώρων ἀναγκαία ἐστὶν ἡ ἐνέργεια τοῦ Ἁγίου Πνεύματος, δι᾽ εὐχῆς ἐπικαλουμένη. Ἡ ἐπίκλησις τοῦ Ἁγίου Πνεύματος πρὸς τὸν ἁγιασμὸν τῶν Δώρων ἦν κατὰ τὴν ἀρχαιότητα καὶ ἐν τῇ διατάξει τῆς δυτικῆς λειτουργίας, ἐξῃρέθη δ᾽ αὐτῆς ὑπὸ τῆς παχυλῆς ἀμαθείας οὐ πρὸ τοῦ ἑνδεκάτου αἰῶνος. Πολλῷ ὀψιαίτερον αὐτοῦ, μάλιστα κατὰ τὸν δέκατον πέμπτον διετυπώθη ἡ δοξασία τῆς αὐθάδους ἀμαθείας, ὅτι δῆθεν ἁγιάζονται τὰ Δῶρα μόνον τοῖς Κυριακοῖς λόγοις ([6]).

5. Κατὰ τὴν νῦν ρωμαϊκὴν διάταξιν ὁ ἁπλοῦς λαὸς μεταλαμβάνει μόνον τοῦ Σώματος τοῦ Κυρίου, ὁ δὲ ἱερεὺς καὶ τοῦ Αἵματος διὰ σωλη-

(θ) Ἔσθ᾽ ὅτε ὁ ἅγιος Γρηγόριος ἔγραφε πλήρεις μετριοφροσύνης λόγους· οἷον πρὸς τὸν Ἀλεξανδρείας Πατριάρχην ἅγιον Εὐλόγιον, τοὺς ἑξῆς· « ὅτι γινώσκει τίς ἐστιν ὁ Γρηγόριος, καὶ τίνες οἱ συνάδελφοι αὐτοῦ· κατὰ μὲν τὴν ἀξίαν, ἀδελφοί, κατὰ δὲ τὴν ἀρετήν, Πατέρες αὐτοῦ» (Lib. VII. ep. 30). Σ. Μ.

([1]) Contra Marcion. Lib. I. c. 23.

([2]) Contra Donat. Lib. VI. «in altare *postulatus* descendit super dona Spiritus Sanctus ». Paris. 1679.

([3]) Ep. 85 ad Evagqium : « ad quorum preces Christi Corpus sanquisque conficitur».

([4]) De Trinit. Lib. III. c. 4.

([5]) Lib. VII. ep. 63.

([6]) Pascal Orat. et raison de la Liturgie cathol. 168. Παπιστ. Ἔλεγχ. Τ. Α΄. σελ. 95. Τ. Β΄. σελ. 26. Ἐν Κωνσταντινουπόλει, αων΄.

νίσκου, διὰ δὲ τὸν Πάπαν ὁ σωληνίσκος οὗτος ἔχει σπόγγον ἔνδον (spongia officinalis). Πλὴν τούτου ὁ ἄρτος καὶ ὁ οἶνος, λειτουργοῦντος τοῦ Πάπα, ὑποβάλλονται δοκιμασίᾳ, μὴ ὑπὸ δηλητηρίου διεφθάρησαν. Ὁ ἅγιος Γρηγόριος γράφει, ὅτι οἱ θαλασσοποροῦντες ἔφερον μεθ' ἑαυτῶν τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Χριστοῦ πρὸς μετάληψιν ἐν περιστάσει κινδύνου θανάτου ([1]). Εἴδομεν, ὅτι ὁ ἅγιος Λέων κατέκρινεν αὐστηρῶς τοὺς Μανιχαίους διὰ τὸ μεταλαμβάνειν αὐτοὺς μόνον τοῦ Σώματος τοῦ Κυρίου([2]). Τὸ δὲ διὰ σωληνίσκου μεταλαμβάνειν τοῦ Αἵματος τοῦ Κυρίου, ὡς καὶ ἡ δοκιμασία τοῦ ἄρτου καὶ τοῦ οἴνου, λειτουργοῦντος τοῦ Πάπα, ἐστὶ καρπὸς ὀψιαιτέρας καὶ πάνυ οἰκτρᾶς μικροψυχίας, μόνον κοσμικῇ ὑπερηφανίᾳ πρεπούσῃ ([3]).

Ἴδωμεν ἄλλην διάταξιν τοῦ ἁγίου Γρηγορίου.

Ὁ Πατριάρχης Μιχαὴλ ὁ τοῦ Ἀγχιάλου, κατὰ τὸν ιβ'. αἰῶνα ἀκμάσας, ἔγραψεν ἐν τῇ περὶ τῆς Λειτουργίας τῶν Προηγιασμένων ἐπιστολῇ αὐτοῦ τὰ ἑξῆς: « Ἡ τῶν Προηγιασμένων μυσταγωγία γηραιὰ καὶ ἀρχαιοπαράδοτος καὶ πρὸ αὐτῶν τῶν μυσταγωγῶν ἡμῶν, τοῦ τε ἐν ἁγίοις μεγάλου Πατρὸς ἡμῶν τοῦ Χρυσοστόμου, καὶ τοῦ τῆς τῶν Καισαρέων ἀρχιερατικοῦ καὶ θείου ἐγκαλλωπίσματος καὶ μεγίστου Πατρὸς ἡμῶν Βασιλείου τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἐπεγνωσμένη. Καὶ δῆλον ἐκ τοῦ μθ'. Κανόνος τῆς ἐν Λαοδικείᾳ τῆς Φρυγίας συναθροισθείσης ἁγίας Συνόδου, οὕτω διεξιόντος, ὅτι οὐ δεῖ τὴν Τεσσαρακοστὴν ἄρτον προσφέρειν, εἰ μὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ μόνον, ᾧ συνῳδὰ φησὶ καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ ἕκτης Οἰκουμ. Συν. Κανὼν νβ'. οὕτω λέγων: Ἐν πάσαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις παρεκτὸς Σαββάτου καὶ Κυριακῆς, καὶ τῆς ἁγίας τοῦ Εὐαγγελισμοῦ ἡμέρας γενέσθω ἡ τῶν Προηγιασμένων ἱερὰ τελεσιουργία. Ἥτις ἐν Λαοδικείᾳ Σύνοδος συνέστη πρὸ τῆς κατὰ ταύτην τοῦ Κωνσταντίνου καὶ βασιλίδα τῶν πόλεων συγκροτηθείσης Οἰκουμενικῆς, τῶν τηνι-

---

([1]) Dial. III. 36.

([2]) Βλ. περὶ τοῦ ἁγ. Λέοντος Π. Ῥώμης.

([3]) Μουραβιέφ ρωμ. ἐπ. I. 177-179.

καῦτα συναχθέντων ἁγίων Πατέρων δευτέρας συνελεύσεως, ὧν ἦσαν καὶ ὁ μέγας ἐν Θεολογίᾳ Γρηγόριος, καὶ ὁ τῆς Νυσσαέων φωστήρ, οἷς ὁ μὲν Μέγας Βασίλειος σύνθρονος, ὁ δὲ θεῖος Χρυσόστομος ὑστερογενὴς καὶ μεταχρόνιος. Καὶ ἀπὸ τοῦ ἐν ταῖς ἁγίαις Ἐκκλησίαις πάσαις φέρεσθαι λόγον ἐξ ἀγράφου τῆς παραδόσεως, ὅτι μετὰ τὴν εἰς τὸ ἅγιον θυσιαστήριον εἰσκομιδὴν τῶν Προηγιασμένων ἡ γινομένη εὐχὴ μυστικὴ τοῦ ἁγίου Ἀθανασίου ἐστίν. . . . . Εὑρίσκεται δὲ καὶ ἔν τισιν ἀρχαιογράφοις Εὐχολογίοις ἡ τοιαύτη Εὐχὴ ἐπιγεγραμμένον ἔχουσα τὸ τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ὄνομα, ἀλλὰ καὶ ἐν πολλαῖς τῶν ἡμετέρων δέλτων ἱστορεῖται καὶ ἀναφέρεται, ὅτι καὶ ὁ ἅγιος Γρηγόριος ὁ Διάλογος ἐν τοῖς Ρωμαίων ταύτην τὴν μυσταγωγίαν ἐπιτελεῖσθαι κατὰ τὰς εὐαγεῖς καὶ ἱλαστηρίους ἡμέρας τῆς Τεσσαρακοστῆς παραδέδωκεν. Εἴπερ τέως καὶ ἄρτι παρὰ τῇ παλαιᾷ Ρώμῃ γίγνεται. Καὶ ταῦτα μὲν περὶ τῆς ἀρχαιότητος τῆς τῶν Προηγιασμένων μυσταγωγίας»(1). Νῦν ἐστι γνωστὴ ἐν τῇ Δύσει ἡ λειτουργία τῶν Προηγιασμένων, εὑρισκομένη ἐν ἀπογράφοις τοῦ Σακραμενταρίου τοῦ ἁγίου Γρηγορίου (2). Ἐν τῇ ἐπιστολῇ τοῦ ἁγίου Γρηγορίου, ἐξ ἧς παρηγάγομεν ἤδη χωρίον, ἀναγινώσκομεν, ὅτι ἔνιοι τῶν Δυτικῶν ἐμέμφοντο αὐτῷ, λέγοντες: «quomodo Ecclesiam Constantinopolitanam disponit comprimere, qui ejus consuetudines per omnia sequitur?» (3). Ἡ μομφὴ αὕτη δεικνῦσα τὸν χαρακτῆρα τῶν περὶ τῆς θείας λατρείας διατάξεων τοῦ ἁγίου Γρηγορίου, βεβαιοῖ τὴν παράδοσιν, ὅτι αὐτός ἐστιν ὁ ὁρίσας ἐπιτελεῖσθαι τὴν Λειτουργίαν τῶν Προηγιασμένων παρὰ τοῖς Ρωμαίοις ἐν ταῖς νηστίμοις ἡμέραις. Ἀλλ' ἡ ἐν τῇ μομφῇ ταύτῃ καταφαινομένη ὑπερήφανος ἀμάθεια, περιεῖδε τὴν διάταξιν ταύτην τοῦ ἁγίου Γρηγορίου· διότι ἡ τῶν Προηγιασμένων Λειτουργία ἐπιτελεῖται ἐν τῇ Δύσει μόνον κατὰ τὴν ἁγίαν καὶ μεγάλην Παρασκευήν. Ἡ δυτικὴ Λειτουργία τῶν Προηγιασμένων ἐστὶν ἱκανῶς ὁμοίᾳ τῇ ἑλληνικῇ. Ἀλλ' ὑπάρχουσιν ἐν αὐτῇ ἀλλόκοτα, προδήλως μετὰ τὸν Γρηγόριον εἰσαχθέντα. π. χ. ἡ ρωμαϊκὴ Ἐκκλησία δέεται ἐν αὐτῇ τοῦ

(1) L. Allat. de Consens. Eccles. Or. et Occid. p. 1578.

(2) Missale Roman., fer. VI majoris Hæbdon., in Parasceve.

(3) Lib. IX. ep. 12.

Θεοῦ ἐπιστρέψαι τοὺς σχισματικοὺς εἰς τὴν λατινικὴν πίστιν, τοῦτ' ἔστιν οὐ δέεται ὑπὲρ ἑνώσεως τῶν Ἐκκλησιῶν, ἀλλ' ὑπὲρ τῆς ἐπιστροφῆς ἁπάντων εἰς τὸν παπισμόν.

§. 241. Εὐλόγιος, Π. Ἀλεξανδρείας.

Εἷς τῶν σοφωτάτων καὶ ἐπὶ ἐνθέῳ ὑπὲρ τῆς ὀρθοδοξίας ζήλῳ διαπρεπεστάτων γενομένων Ποιμένων τοῦ ς'. αἰῶνος ἦν ὁ ἐν ἁγίοις Πάπας καὶ Πατριάρχης Ἀλεξανδρείας Εὐλόγιος. Τὸ πρῶτον ἔσχε βαθμὸν πρεσβυτέρου ἐν Ἀντιοχείᾳ καὶ ἡγήσατο τῆς Μονῆς τῆς Θεοτόκου τῆς ἐπιλεγομένης τοῦ Ἰουστινιανοῦ, ἀλλὰ καὶ τότε κατηγωνίζετο τὰς αἱρέσεις (1). Ἐν πρεσβυτέροις ἔτι τελῶν, ἔγραψε πρὸς τὸν Κωνσταντινουπόλεως Πατριάρχην ἅγιον Εὐτύχιον ἐπιστολήν, δι' ἧς ἐπεκούφισε τὴν πρὸς τοὺς ἰσχυρογνώμονας Εὐτυχιανοὺς πάλην τούτου τοῦ Ἱεράρχου(2). Ὁ εὐσεβὴς Τιβέριος, βουλόμενος θεραπεῦσαι κατά τι τὰς ὑπὸ τῶν αἱρετικῶν ἐπενεχθείσας τῇ Ἐκκλησίᾳ πληγάς, ἐξελέξατο τὸν Εὐλόγιον διάδοχον τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος. Ἡ ἐκλογὴ ἦν ἀρίστη. Ἀναβὰς ἐν τῷ τέλει τοῦ 583ου ἔτους ἐπὶ τὸν θρόνον τῆς Ἐκκλησίας ἐκείνης, ἣ ἔπασχε τότε κατ' ἐξοχὴν ὑπὸ τῶν Εὐτυχιανῶν, οὐκ ἐπαύετο ἐνεργῶν κατὰ τῶν αἱρετικῶν τούτων μετὰ παντὸς ζήλου. Διέπεμπε τὰ συγγράμματα αὐτοῦ ἀλλεπάλληλα εἰς τὰς ὑπὸ τοῦ εὐτυχιανισμοῦ δεινῶς μολυνθείσας Μονὰς τῆς Αἰγύπτου(3). Ἡ πρὸς τὸν ἅγιον Γρηγόριον τὸν Διάλογον εἰλικρινὴς αὐτοῦ φιλία ἀρξαμένη, ἀφ' οὗ τὸ πρῶτον εἶδεν αὐτὸν τῷ 585 ἐν Κων]πόλει, ἐγένετο τῷ Εὐλογίῳ παραμυθία τοὐλάχιστον, κατὰ τὸν χρόνον τῆς δυσκόλου κυβερνήσεως τοῦ ποιμνίου τῆς Ἀλεξανδρείας. Ἐν ταῖς πρὸς αὐτὸν ἐπιστολαῖς τοῦ ἁγ. Γρηγορίου ἀναγινώσκομεν πολυτίμους μαρτυρίας περὶ τῆς εὐκάρπου ἐκείνου δραστηριότητος. «Τὰ γράμματα τῆς Ὑμετέρας προσφιλεστάτης μοι ἁγιότητος, γράφει ὁ ἅγιος Γρηγόριος, ἐνέπλησάν με μεγάλης χαρᾶς, μαθόντα τὴν ἐν Ἀλεξανδρείᾳ διδασκαλίαν, τὴν ἐπιστροφὴν τῶν αἱρετικῶν, καὶ τὴν ὁμόνοιαν τῶν πιστῶν» (4). Καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ μετὰ ταῦτα γραφεί-

(1) Φωτ. Ἀνάγν. σκς'.
(2) Φωτ. Ἀνάγν. σκζ'.
(3) Φωτ. Ἀνάγν σλ'.
(4) Lib. X. ep. 35. 39. Lib.

σῃ ἔγραψε: «Τῇ χαρᾷ ἐπὶ τῇ ὑμετέρᾳ ὑγείᾳ προσετέθη μοι ἔτι ἡ χαρὰ μαθόντι, ὅτι ὁ ὑμέτερος λόγος ἠλάττωσε τὸν ἀρθιμὸν τῶν ἐχθρῶν τῆς Ἐκκλησίας καὶ ἐπολλαπλασίασε τὸ ποίμνιον τοῦ Κυρίου»(1). Τῷ ἁγίῳ Εὐλογίῳ ἀπέκειτο ἀγωνίζεσθαι οὐ μόνον πρὸς τὰς χριστιανικὰς αἱρέσεις, ἀλλὰ καὶ πρὸς τοὺς Σαμαρείτας, τερατευομένους τότε Δοσίθεόν τινα εἶναι ἐκεῖνον, περὶ οὗ Μωσῆς εἶπε: «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ». Ὁ ἅγιος Εὐλόγιος συνήγειρε τούτου ἕνεκα Σύνοδον πρὸς προφύλαξιν τῶν ἐν τῇ ποίμνῃ αὐτοῦ ἀσθενῶν. Τοῦτο ἐγένετο τῷ 588ῳ ἔτει (*). Ὁ ἀκάματος ποιμὴν ἐξεδήμησε πρὸς Κύριον πλήρης ἡμερῶν τῷ 608φ ἔτει (2).

Τὰ ἔξοχα πνευματικὰ χαρίσματα τοῦ ἁγίου Εὐλογίου καθίστασαν αὐτὸν ἱκανὸν ἐκπληροῦν τὸν πρὸς καταπολέμησιν τῶν αἱρετικῶν ἔνθεον αὐτοῦ ζῆλον. Συνέγραψε πάνυ πολλά. Δυστυχῶς δὲ τὰ συγγράμματα αὐτοῦ εἰσι νῦν γνωστὰ μόνον ἐκ τῶν ὑπὸ τοῦ Πατριάρχου Φωτίου γενομένων Ἐκλογῶν αὐτῶν. Ἅπαντα σχεδὸν συνεγράφησαν κατὰ τῶν συγχρόνων αὐτῷ αἱρετικῶν.

1) Ὡς πρὸς τὴν ἕνωσιν τῶν δύο ἐν Χριστῷ φύσεων ἐγράφησαν:

α΄) Τὰ δύο βιβλία κατὰ τῶν αἱρετικῶν Τιμοθέου καὶ Σεβήρου.—σύγγραμμα μακρόν, γνωστὸν δὲ μόνον ἐκ τῆς περιγραφῆς τοῦ Φωτίου (3).

β΄) Ἡ βίβλος κατὰ Θεοδοσίου καὶ Σεβήρου κατακρινάντων τὸν Τόμον τοῦ Π. Λέοντος, ἐπιδοκιμασθέντα δὲ ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου (4)· τὰ ἑπτὰ κεφάλαια περὶ τῶν δύο φύσεων τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰ-

XII. ep. 50. Lib. XIII. ep. 42.

(1) Lib. XIII. ep. 42.

(*) Φωτ. Ἀναγν. σλ΄.

(2) Νικηφ. Ἐκκλ. Ἱστορ. ΙΗ΄. 56. Ἡ μνήμη αὐτοῦ τελεῖται ἐν μὲν τῇ ἑλληνικῇ Ἐκκλησίᾳ τῇ ιγ΄ Φεβρουαρίου, ἐν δὲ τῇ ρωμαϊκῇ τῇ ιγ΄ Σεπτεμβρίου.

(3) Ἀνάγν. σκέ.

(4) Τὸ σύγγραμμα τοῦτο περιεγράφη ὑπὸ τοῦ Φωτ. ἐν Ἀναγν. σκς΄. Λέξεις αὐτοῦ ἐξεδ. ὑπὸ τοῦ Μαΐου in Colleċt. Script. Vet. T. XII. p. 178.

ησοῦ Χριστοῦ([1]), καὶ τὰ συγγράμματα κατὰ Ἀπολλιναρίου ([2]), καὶ Διοδώρου ([3]).

γ') Αἱ συνηγορίαι πρὸς τοὺς λέγοντας ὅτι, εἰ φατὲ τὸν Χριστὸν δύο ἔχειν οὐσίας, πάντως ἡ ἁγία Τριὰς πᾶσα σεσάρκωται ([4]).

δ') Ἡ Ἀντίθεσις πρὸς τοὺς λέγοντας ἰδικὴν οὐσίαν εἶναι τοῦ Πατρός, καὶ ἰδικὴν τοῦ Υἱοῦ, καὶ ὁμοίως τοῦ ἁγίου Πνεύματος ([5]).

ε') Ὁ Π. Φώτιος ἐν τοῖς δώδεκα δογματικοῖς λόγοις τοῦ ἁγίου Εὐλογίου ἀνέγνω: αα) τὸν μακρὸν λόγον, ἢ τὴν ἔκθεσιν αὐτοῦ περὶ τῆς ἁγίας Τριάδος καὶ περὶ τῆς οἰκονομίας ([6]), ἐξ ἧς ὀλίγα διεσώθησαν εἰς ἡμᾶς ἐν πρωτοτύπῳ μορφῇ ([7]): ϐϐ) τὸν λόγον κατὰ Ἀγνοητῶν ([8]), ὃν ἀνέγνω ὁ ἅγ. Γρηγόριος ὁ Διάλογος, καὶ περὶ οὗ ἔγραψε τῷ ἱερῷ τῆς Ἀλεξανδρείας ποιμένι: «Ἐν τῇ ὑμετέρᾳ διδασκαλίᾳ κατὰ τῶν αἱρετικῶν, τῶν καλουμένων Ἀγνοητῶν, ὑπάρχουσι πολλὰ τὰ θαυμαστά, οὐδὲν δέ, ὅπερ εἴη ἂν ἡμῖν δύσαρεστον» ([9]).

ς') Ὁ στηλιτευτικὸς λόγος κατὰ τῆς γεγενημένης τοῖς Θεοδοσιανοῖς τε καὶ Γαϊνίταις προσκαίρου ἑνώσεως. Οἱ μαθηταὶ οὗτοι τοῦ Εὐτυχοῦς, διϊστάμενοι πρὸς ἀλλήλους πρότερον, εἰς ἑνωτικήν τινα πρὸς ὀλίγον ἀσέβειαν συνεχύθησαν, ὑποχωρήσεις τινὰς ἀλλήλοις ποιησάμενοι, ἵνα ἐπιτυχέστερον δυνηθῶσιν ἀγωνίσασθαι πρὸς τοὺς ὀρθοδόξους. Ἡ συμμαχία αὕτη παρετάθη μὲν ἐπὶ πολύ, ἐγένετο δὲ ἐπιζήμιος τῇ ἁγίᾳ ἀληθείᾳ. Ὁ

([1]) Τὰ ἑπτὰ ταῦτα κεφάλαια ὑπάρχουσιν ἐν τοῖς θεολογικοῖς συγγράμμασι τοῦ ἁγ. Μαξίμου τοῦ Ὁμολ. Τ. Β'. σελ. 145. ed Combef.

([2]) Ἡ Ἐκλογὴ παρὰ Μαΐῳ Collect. Vet. Auct. T. VII. p. 20.

([3]) Παρὰ τῷ αὐτῷ ibid. VII. p. 20.

([4]) Τὰ χωρία παρὰ Μαΐῳ Collact. V. Auct. T. VII. p. 18. 19. VIII. p. 54-57. 59, 60, 61, 62, 63.

([5]) Παρὰ Μαΐῳ, ibid. p. 19.

([6]) Ἀναγν. σλ'.

([7]) Παρὰ Μαΐῳ Collect. V. Auct. VIII. p. 176-178.

([8]) Ἀνάγν. σλ.

([9]) Lib. X. ep. 39. Περὶ τοῦ αὐτοῦ ὁμιλεῖ ἐν ἑτέρᾳ ἐπιστ. Lib. X. ep. 35.

ἅγιος Εὐλόγιος ἀπεδείκνυ ἐν τῷ ἑαυτοῦ συγγράμματι « ὅτι περ οὐχ ὡς ἐκείνοις ἔδοξεν οἰκονομίαν αὐτοῖς ἡ ἕνωσις ἐξειργάσατο, ἀλλ᾽ ὅλης αὐτῶν τῆς πίστεως προδοσίαν ἐμοθέδευσεν . . . ὁ τῆς οἰκουμένης λόγος οὐ τὰ τυχόντα τῶν προσώπων ἐπόπτας καὶ διαιτητὰς καθίζει τῆς πράξεως, ἀλλὰ τοὺς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους τῶν τοῦ θείου μυστηρίων καὶ οἷς τῶν ἀρχιερατικῶν θρόνων οἱ νόμοι κατεπιστεύθησαν, ὧν ἡ λεγομένη τῶν Γαϊνιτῶν καὶ Θεοδοσιανῶν ἕνωσις οὐδένα ἐγίνωσκεν. Ἔπειτα δὲ τότε τὰς οἰκονομίας ὁ ὀρθὸς λόγος μεταχειρίζεται, ὅτε ὁ λόγος τῆς εὐσεβείας οὐδὲν παραβλάπτεται . . . καὶ τρίτον δέ φησι τρόπον οἰκονομίας, ὅτε παρορῶνται πρόσωπα πολλάκις ἐκκήρυκτον ψῆφον τῆς ἀκριβείας κατ᾽ αὐτῶν ἀνακηρυττούσης, οὐδὲν ἔλαττον τῶν ὀρθῶν κρατυνομένων δογμάτων, καθ᾽ ἥν, φησίν, οἰκονομίαν Θεόφιλος μὲν τῷ Γελασίῳ ἐκοινώνει, ἐγγεγραμμένον ἔχοντι τοῖς ἱεροῖς διπτύχοις τὸν Παλαιστῖνον Εὐσέβιον, Κύριλλος δὲ τοῦ Μοψουεστίας Θεοδώρου, κατὰ τὴν ἑῴαν ὡσαύτως ἀνακηρυττομένου, τῆς κοινωνίας οὐκ ἀφίστατο· ἑώρα γὰρ ἀκηράτοις σωζόμενα δόγμασι τὰ τῆς εὐσεβείας καιριώτατα » [1].

2). Τὰ λείψανα τῶν Ναυατιανῶν παρώρμησαν τὸν ἅγιον Εὐλόγιον γράψαι ἓξ βιβλία κατὰ τοῦ Ναυάτου. Ὁ μακάριος Φώτιος ἀναγνοὺς τὸ σύγγραμμα τοῦτο, γράφει: « Ἐν τῷ πέμπτῳ (λόγῳ) ἰδίως περὶ τοῦ δεῖ τιμᾶν τὰ τῶν Μαρτύρων λείψανα ἐπαγωνίζεται, ὃ μὴ ἀνέχεσθαι πράττειν φησὶ τοὺς ἀνὰ τὴν Ἀλεξάνδρειαν διασπαρέντας Ναυατιανούς, εἴτε τούτων μόνων καὶ τὴν τοιαύτην νόσον προσνενοσηκότων, εἴτε κοινῆς τῆς αἱρέσεως τοῦτο διαπρεσβευούσης. Ἐν δὲ τῷ ἕκτῳ ἀνατρέπει τὰ παρὰ τοῖς Ναυατιανοῖς λεγόμενα ὑπομνήματα καὶ τὴν ψευδεπίγραφον ἄθλησιν Ναυάτου ἐπισκόπου. Ἐπίσκοπον γὰρ Ρώμης τὸν αἱρεσιάρχην ἀποσεμνύνουσι . . . . Τοῦτο ἐκεῖνος πρόφασιν θέμενος, ἐρράγη τε τῆς Ἐκκλησίας καὶ Κορνηλίου κατηυθαδασίατο, καθαροὺς μὲν τοὺς ὅσοι αὐτῷ ἐπλήρουν τὸ κατὰ τῆς Ἐκκλησίας ὀνομάσας σύνταγμα, Κορνηλιανοὺς δὲ τοὺς τὴν αὐτοῦ βδελυξαμένους φιλαρχίαν καὶ κατὰ τῶν μετανοούντων ἀπόνοιαν» [2].

---

(1) Φωτ. Ἀνάγν. σκζ΄.

(2) Ἡ ἐπιγραφὴ παρὰ Φωτ. Ἀνάγ. ρπβ΄. ση΄.

Ὁ ἱερὸς Εὐλόγιος ἔγραψεν ἔτι λόγον φέροντα ἐπιγραφήν : Ὅρος ἐκφωνηθεὶς τοῖς Σαμαρείταις. Ἡ δὲ ὑπόθεσις, λέγει ὁ Πατριάρχης Φώτιος, πρόκειται τοιαύτη. Τῶν Σαμαρειτῶν τὸ πλῆθος εἰς ἀντικειμένας μερίδας διαιρεθέντες καὶ στασιάσαντες πρὸς ἀλλήλους καὶ ἀλλοφύλοις ἑαυτοὺς ἀποδιατειχίσαντες δόξαις, οἱ μὲν Ἰησοῦν τὸν Ναυῆ ἐδόξαζον εἶναι, περὶ οὗ Μωσῆς εἶπε : Προφήτην... (Δευτερ. κζ΄.), οἱ δὲ τοῦτον μὲν παρεγράφοντο, Δοσθήν δέ τινα τοὔνομα ἢ Δοσίθεον ἀνεκήρυττον . . . καθίζει δὲ τούτων δικαστὴς ὁ ἱερὸς Εὐλόγιος μετὰ συνόδου ἀρχιερεῖς τε τῶν ἐπισήμων καὶ τοὺς λαμπροὺς τῶν ἐν ἀξιώμασι πλήρωμα ποιουμένης . . . γυμνάσας δὲ τὰ παρ' ἑκατέρων λεγόμενα ὁ ἱερὸς Εὐλόγιος καὶ τῆς ἀληθείας ἑκατέρους διελέγξας μακρὰν ἀφισταμένους, τὸν μὲν προφητευόμενον γραφικοῖς παρέστησε ῥητοῖς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν εἶναι . . . .» Ἐν τῷ λόγῳ τούτῳ ἐπιδείκνυσι τοῖς αὐτοῖς Σαμαρείταις τὴν ἀνάστασιν τῶν νεκρῶν ἐκ τῶν μωσαϊκῶν μαρτυριῶν (1).

Ἐκ τῶν πολλῶν λόγων τοῦ ἁγίου Εὐλογίου διεσώθη εἰς ἡμᾶς ἀκέραιος μόνον ὁ εἰς τὰ Βάϊα καὶ εἰς τὸν πῶλον (2).

(1) Ἀνάγν. σλ΄.

(2) Ἐξεδ. ὑπὸ Κομβεφισ. in Auct. Nov. S. Patr. T. I. p. 652.

ΠΕΡΙΟΔΟΣ ΤΡΙΤΗ

Ἀπὸ τοῦ 610ου — 850ου ἔτους·

§. 242. Ὑποθέσεις τῶν διδασκαλιῶν·

Τὸ ἀπὸ τοῦ 610ου —850ου ἔτους διάστημα πεπλήρωται δεινῶν, ἅτινα ἔπαθεν ἡ ἁγία Ἐκκλησία ἐκ τῶν ἀραβικῶν ἐπιδρομῶν, τοῦ Μονοθελητισμοῦ καὶ τῆς Εἰκονομαχίας.

Εἰς τὴν ἐξάπλωσιν τῶν ἀραβικῶν ἐπιδρομῶν συνετέλεσαν κατὰ πολὺ καὶ οἱ Μονοφυσῖται. Δυστυχῶς ἡ πολιτικὴ τοῦ Αὐτοκράτορος Ἡρακλείου ἐξελέξατο μέτρον τῆς διαλλαγῆς τῶν αἱρετικῶν τούτων πρὸς τοὺς ὀρθοδόξους αὐτὴν τὴν αἵρεσιν, μόνον ἐν ἑτέρᾳ μορφῇ, δηλ. τὸν μονοθελητισμόν, ἢ τὴν δοξασίαν, ὅτι ἐν τῷ Χριστῷ μία ἐνέργεια καὶ ἓν θέλημα. Ἀντὶ εἰρήνης ἐξερράγη νέα πάλη, ἥτις, ἐξασθενίζουσα τὸν χριστιανισμόν, συνετέλει εἰς τὴν ἐπίρρωσιν τῶν ἀραβικῶν ἐπιδρομῶν τοσούτῳ μᾶλλον, ὅσον οἱ Μονοφυσῖται ἁπασῶν τῶν μερίδων παρεδίδοντο συμφερόντων χάριν τῇ ἀραβικῇ ἐξουσίᾳ (¹).

(¹) Ὁ Αὐτοκρ. Ἡράκλειος (611-641) ἐν τῇ κατὰ τῶν Περσῶν ἐκστρατείᾳ αὐτοῦ (623), μαθὼν ἐν Ἀρμενίᾳ καὶ Συρίᾳ ὡς νέον, ὅτι οὐκ ἤρεσκε τοῖς Μονοφυσίταις πρὸ πάντων ἡ τῶν δύο ἐν Χριστῷ ἐνεργειῶν ὁμολογία, ἀπέστειλεν εἰς Κύπρον κέλευσιν, ἀπαγορεύουσαν ποιεῖσθαι λόγον περὶ τῶν μετὰ τὴν ἕνωσιν δύο ἐνεργειῶν ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ (ἐπ. Κύρου ἐπισκ. Φάσιδος ap. Mans. in collect. Concil. XI. 561). Τῷ 638 ἐξεδόθη ἡ Ἔκθεσις, ἧ ἀπηγορεύετο ὁμιλεῖν περὶ τῶν δύο ἐν Χριστῷ ἐνεργειῶν. Τῷ μονοφυσιτισμῷ ἐπετράπη ἐξαπλοῦσθαι ἀκωλύτως κατ' ἐξοχὴν ἐπὶ τοῦ Αὐτοκράτορος Κώνσταντος τοῦ Β' (642-668) ἐκδόντος τύπον τῆς πίστεως ἐν παρομοίῳ πνεύματι. Ἡ τῷ 680 συγκροτηθεῖσα Οἰκουμενικὴ Σύνοδος κατεδίκασε τὸν μονοθελητισμόν. Με-

Ἓν τῶν βαρέων τραυμάτων τῶν ὑπὸ τῶν ἀράβων κατενεχθέντων τῷ χριστιανισμῷ ἦν ἡ Εἰκονομαχία. Οἱ μὲν ἐκ κουφότητος, οἱ δ᾽ ἐξ ἀσθενείας παρέλαβον παρὰ τῶν ἀράβων τὴν πρὸς τὰς ἁγίας εἰκόνας περιφρόνησιν· ἡ δὲ πολιτικὴ ἀνεδέξατο μεταδοῦναι ἀραβικὸν μάθημα τῇ χριστιανικῇ Ἐκκλησίᾳ ἐπαναλαμβάνουσα τὸν ἀρχαῖον νόμον: Οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα. Ἀπὸ τοῦ 726, ὅτε Λέων ὁ Ἴσαυρος ἐξέδωκε τὸ πρῶτον διάταγμα, τὸ κωλύον τὴν πρὸς τὰς εἰκόνας τιμήν, μέχρι τοῦ 840, ὅτε ἐτελεύτησεν ὁ τελευταῖος εἰκονομάχος Θεόφιλος, ἀδιακόπως ὑβρίζοντο αἱ ἅγιαι εἰκόνες καὶ οἱ ὀρθόδοξοι τῆς ἑλληνικῆς Ἐκκλησίας ὑπεβάλλοντο μαρτυρίοις καὶ ποικίλαις θλίψεσι (¹).

Ἡ Εἰκονομαχία προὐκάλεσε κατ᾽ ἐξοχὴν καθ᾽ ἑαυτῆς τὴν ἐνέργειαν τῶν διδασκάλων τούτου τοῦ χρόνου τοσοῦτο μᾶλλον, ὅσον αἱ δοξασίαι αὐτῆς ἦσαν δοξασίαι ἀραβικαί. Ἅμ᾽ ἀρξαμένου παρρησίᾳ τοῦ κατὰ τῶν ἁγίων εἰκόνων πολέμου, ἐγράφησαν οὐκ ὀλίγοι ἀπολογιτι-

---

τὰ τοῦτο ἤρξαντο οἱ ἐν Συρίᾳ Ὀρθόδοξοι καλεῖσθαι Μελχῖται, δηλ. ἄνθρωποι ἔχοντες τὴν αὐτὴν τῷ Αὐτοκράτορι τῶν Ἑλλήνων ὁμολογίαν τῆς πίστεως· οἱ δ᾽ Ἰακωβῖται παρεδόθησαν τοῖς Ἄραψιν. Ἐν Αἰγύπτῳ οἱ Κόπται — Μονοφυσῖται ἔλαβον ἴδιον Πατριάρχην καὶ προνόμια παρὰ τῶν Καλιφῶν διὰ τὴν ὑπὲρ αὐτῶν σύμπραξιν. Macrizii Historia Coptorum Christ. ed. Wetzer 1828. Renaud. Hist. Patr. Alexandrinor. P. 2.

(¹) Τὸν κατὰ τῶν ἁγίων εἰκόνων καὶ τῶν τιμώντων αὐτὰς δεινότατον τῶν διωγμῶν ἤγειραν Κωνσταντῖνος ὁ Κοπρώνυμος (741-745) καὶ ὁ Θεόφιλος. Ὁ πρῶτος μετὰ τὴν σύνοδον, ἐν ᾗ (754) αὐτὸς ἀπήγγειλεν ἀνάθεμα τῇ τῶν εἰκόνων προσκυνήσει, διέταξε κατακαῦσαι αὐτὰς καὶ τὰ τῶν ἁγίων Μαρτύρων λείψανα, ἀπηγόρευσε καλεῖν τοὺς Προφήτας, τοὺς Ἀποστόλους καὶ τὴν Θεοτόκον ἁγίους (Θεοφ. σελ. 293, 294), καὶ οὐχ ἧττον τοῦ Δεκίου ἦν ἐφευρετὴς βασάνων τοῖς ὀρθοδόξοις. Ὁ χρόνος αὐτοῦ περιεγράφη ἐν ἀκριβείᾳ ὑπὸ τοῦ διακόνου Στεφάνου ἐν τῷ β. Στεφάνου τοῦ μικροῦ (Cotel. mon. Eccles. Gr. IV), ὑπὸ τοῦ Θεοφάνους ἐν χρονογρ. Οἱ χρόνοι Λέοντος τοῦ Ἀρμενίου περιεγράφησαν ἐπ᾽ ἴσης ἐν ἀκριβείᾳ ὑπὸ τοῦ Ἰγνατίου ἐν τῷ β. τοῦ Π. Νικηφόρου (Act. S. 8. Martii), ὑπὸ τοῦ Θεοστηρίκτου ἐν τῷ β. τοῦ Π. Νικήτα (Act. S. 3. April.), ὑπὸ τοῦ Μιχαὴλ ἐν τῷ β. Θεοδώρου τοῦ Στουδίτου, καὶ ὑπὸ τοῦ Θεοφυλάκτου ἐν τῷ β. Νικολάου τοῦ Στουδίτου.

κοὶ λόγοι καὶ πραγματεῖαι ὑπὲρ αὐτῶν. Ἐκτὸς τούτου, ὅπως ὁ ἁπλοῦς λαὸς δύναται ἐκμανθάνειν τὴν ὀρθοδοξίαν ἐξ ἴσου τῇ ἀνεπτυγμένῃ τάξει, ἐστράφη ἰδιάζουσα προσοχὴ εἰς τὴν διάταξιν τῆς λατρείας, μάλιστα δὲ εἰς τὴν διακόσμησιν αὐτῆς δι' ἱερῶν ὕμνων. Ὁ μὲν φανατισμὸς ἠβούλετο ταπεινῶσαι καὶ ἐξαλεῖψαι τὴν μνήμην τῶν ἁγίων τοῦ Θεοῦ· οἱ δὲ πρόμαχοι τῆς ὀρθοδοξίας ἐσπούδαζον δοξάσαι τοὺς φίλους τοῦ Θεοῦ, ἵνα τὴν δόξαν αὐτῶν κηρύττῃ ἅπασα ἡ Ἐκκλησία ([1]).

Κατὰ τοῦτον τὸν χρόνον πάνυ ὀλίγα ἐγράφησαν ὡς πρὸς τὴν διασάφησιν τῆς ἀποκεκαλυμμένης διδασκαλίας. Ἡ ἑρμηνεία τῆς ἁγίας Γραφῆς παρημελήθη σχεδὸν τέλεον. Ὁ δὲ Παυλικιανισμός, ὅστις ἀπὸ τοῦ 680 ἀπορρίπτων ἁπάσας τὰς ἐξωτερικὰς ἱεροτελεστίας, μηδὲ τῶν μυστηρίων ἐξαιρουμένων, εἰσήγαγε τὸν μανιχαϊκὸν δυϊσμόν, καὶ ἀπὸ τοῦ 801 ἐξηπλοῦτο ἐκ τῶν ὁρίων τῆς Ἀρμενίας ἀνὰ τὴν Ἑλλάδα, οὐ πολλῶν ἐφειλκύσατο τὴν προσοχήν ([2]). Τὸ δὲ παράδοξον, ὅτι ὁ ἀραβισμός, ὅστις κατέστρεψε τοσαύτας ψυχάς, οὐδ' ἕνα εὗρε κατὰ πάντα ἄξιον ἀπελέγξαι αὐτόν. Αἴτιον τούτου, ὅτι οἱ ἐσωτερικοὶ τῆς Ἐκκλησίας ἐχθροί, δηλ. οἱ Εἰκονομάχοι, ἔστρεψαν ἐφ' ἑαυτοὺς κατ' ἐξοχὴν τὴν προσοχὴν τῶν Διδασκάλων τῆς Ἐκκλησίας.

§. 243. Μέσα καὶ βαθμὸς τῆς ἐκπαιδεύσεως· Πατέρες.

Πλέον δ' ἐκείνου, ὅπερ ὁρῶμεν, ἀδύνατον ἦν προσδοκᾶν παρὰ τούτου τοῦ χρόνου. Καὶ ἄνευ τῶν ἐξωτερικῶν θυελλῶν ἡ ἐκπαίδευσις κατέπεσεν ἐν τῇ αὐτοκρατορίᾳ μετὰ τὰς διατάξεις τοῦ Ἰουστινιανοῦ. Ὁ δὲ ἀραβισμὸς ἠρκεῖτο τὰ μάλιστα τῇ ἑαυτοῦ ἀμαθείᾳ καὶ ἐδίωκε τὰς ἐπιστήμας. Ἡ εἰκονομαχία ἠκολούθει τοῖς αὐτοῖς κανόσι ὡς πρὸς τὰς ἐπιστήμας. Ὡς οἱ ἄραβες ἐνέπρησαν τὴν βιβλιοθήκην τῆς Ἀλεξανδρείας, οὕτω καὶ Λέων ὁ Ἴσαυρος κατέστρεψε τὴν τῆς Κωνσταντινουπόλεως, πλουσιωτάτην οὖσαν ([3]). Ὁ Κοπρώνυμος

([1]) Μεθ' ἡλίκου ζήλου ἐμερίμνων κατὰ τοῦτον τὸν χρόνον περὶ τῆς διατάξεως τῆς ἐξωτερικῆς λατρείας δεικνῦσι πρὸς τοῖς ἄλλοις οἱ περὶ τῆς Αὐτοκρατείρας Εἰρήνης λόγοι τοῦ συγχρόνου Θεοστηρίκτου (Act. SS. ad 2 April. p. 261, 265, 266).

([2]) Anast. Bibliothec. in praefat. ad concil. 4. Constantinopol.

([3]) Σὺν τῇ βιβλιοθήκῃ ἔκαυσε καὶ

παρεδίδω τοῖς φλοξὶ τὰ βιβλία μετὰ τῶν ἁγίων εἰκόνων (¹). Οὐ ποιούμεθα λόγον περὶ τῆς Δύσεως, ἔνθα ὑπῆρχε βαθὺ σκότος μέχρι Καρόλου τοῦ Μ. (²). Οὕτως ἔχοντος τοῦ χριστιανικοῦ κόσμου, μόνον ἴδιαι περιστάσεις ἐδίδοσαν ἐνίοις τὸ μέσον τοῦ λαμβάνειν ἐξωτερικὴν ἐκπαίδευσιν· καὶ ἐν ὀλίγοις μοναστηρίοις, ὡς π. χ. ἐν τῷ τοῦ Στουδίτου ἐπὶ τοῦ ἁγίου Θεοδώρου, ἡ νεολαία ἐλάμβανε γνώσεις τινάς (³).

Τοιούτῳ τρόπῳ ἐκ τῶν διδασκάλων τούτου τοῦ χρόνου προσήγ-

δώδεκα βιβλιοφύλακας, διότι εἷς αὐτῶν ἐχρῆτο τοῖς χειρογράφοις αὐτῆς πρὸς ἔλεγχον τοῦ εἰκονομάχου. Regin. lib. I. Baron. ad an. 726. §. 10, 11.

(¹) Λέων ὁ Φωκαίας ἐπίσκοπος ἐμαρτύρει ἐν τῇ Β΄ κατὰ Νίκαιαν Συνόδῳ, ὅτι ἐκάησαν ἐν τῇ πόλει, ἔνθα διέτριβε, πλείω τῶν 300 χειρογράφων ἕνεκα τῶν ἐν αὐτοῖς εἰκόνων. Ὁ δὲ Κωνσταντινουπόλεως διάκονος Δημήτριος ἔλεγεν, ὅτι ἀναλαβὼν τὸ ἀξίωμα τοῦ σκευοφύλακος εὗρε χειρόγραφά τινα οὐ πλήρη (Act. Concil. Nicaeni II. Act. IV. ed. Harduini, T. IV. p. 310). Ἰγνάτιος ὁ Νικαίας περιγράφων τὰς μανίας Λέοντος τοῦ Ἀρμενίου (ἐν τῷ β. τοῦ Π. Νικηφόρου) λέγει, ὅτι διαταγῇ αὐτοῦ συνέλεγον ἁπανταχοῦ βιβλία, ἃ κατέκαιον.

(²) Ὅτε Κωνσταντῖνος ὁ Πωγωνάτος ᾐτήσατο ἀφικέσθαι ἐκ Ῥώμης εἰς τὴν Οἰκουμεν. Σύνοδον ἄνδρας καὶ βίου ἀνεπιλήπτου καὶ πεπαιδευμένους, ὁ Π. Ἀγάθων ἀπεκρίνατο: Non aestimamus quemquam temporibus nostris reperiri posse, qui de summitate scientiæ glorietur, quando quidem in nostris regionibus diversarum gentium furor, nunc confligendo, nunc discurrendo, nunc rapiendo. Ἐν τῷ χρονικῷ τοῦ Φρεδεγχρίου εἴρηται περὶ τοῦ αὐτοῦ χρόνου: mundus serescit; ideoque prudentiæ acumen in nobis topescit, nec quisquam potest hujus temporis, nec praesumit oratoribus esse similis.

(³) Μιχαὴλ ἐν β. Θεοδώρ. τοῦ Στουδίτου. Ὁ βιογράφος τοῦ ὁσίου Θεοδώρου τοῦ Ἐδέσσης λέγει, ὅτι ὁ Θεόδωρος ἐπαιδεύθη τὴν ἐγκύκλιον παιδείαν παρὰ τῷ διδασκ. Σωφρονίῳ. Ὁ διάκονος Ἰγνάτιος, ἀποτεινόμενος πρὸς τὸν ἅγιον Ταράσιον, λέγει: οὐκ ἐπιλήσομαι τῶν τελευταίων διδασκαλιῶν σου . . . παρὰ σοῦ ἔλαβον ἄριστα μαθήματα ἐν τοῖς τριμέτροις, τοῖς τετραμέτροις, τοῖς τροχαίοις, τοῖς ἀναπαίστοις, καὶ τοῖς ἡρωϊκοῖς. Ὁ Ἰγνάτιος καλεῖται ὑπὸ τοῦ Σουΐδα γραμματικός· ἐν δὲ τοῖς ἐπιγράμμασιν αὐτοῦ διδάσκαλος τῆς γραμματικῆς.

γισαν τοῖς μεγάλοις Πατράσι μόνον οἱ ἅγιοι Σωφρόνιος, Δαμασκηνός, Γερμανός, Νικηφόρος, Μάξιμος, Θεόδωρος ὁ Στουδίτης, καὶ οἱ ἀναχωριταὶ Ἀββᾶς Δωρόθεος, Λεόντιος, Ἀντίοχος, καὶ Θεόδωρος ὁ Ἐδέσσης. Ἄλλοι Πατέρες ταύτης τῆς περιόδου εἰσὶν οἱ ἅγιοι Μόδεστος, Ἀναστάσιος ὁ Σιναΐτης, Ἀνδρέας ὁ Κρήτης, Ἱλαρίων, Κοσμᾶς, Ταράσιος ὁ Π., Θεοφάνης ὁ τῆς Σιγριανῆς, Ἰωσὴφ ὁ Θεσσαλονίκης, Μιχαήλ, Θεοφάνης ὁ Γραπτός, Μεθόδιος, καὶ Φιλόθεος ὁ Σιναΐτης ([1]).

([1]) Τοιοῦτοι ἐπ' ἴσης καὶ οἱ ἀπὸ τοῦ 610-850 συγγραφεῖς, ὧν μᾶλλον ἀξιοσημείωτοί εἰσιν οἵδε: 1) Ἄγνωστός τις συγγραφεύς, γράψας τὸν βίον τοῦ συγχρόνου αὐτῷ ὁσίου Ἀναστασίου τοῦ Πέρσου † 628 (Act. SS. ad 22 Ianuarii). 2) Ὁ συγγραφεὺς τοῦ Λειμωναρίου Ἰωάννης ὁ Μόσχος, μοναχὸς πεπαιδευμένος, ἐπισκεψάμενος τὰς μονὰς καὶ τὰς σκήτας τῆς Παλαιστίνης, τῆς Συρίας, τῆς Αἰγύπτου, τῆς Κύπρου, τῆς Κωνσταντινουπόλεως καὶ τῆς Ῥώμης. 3) Λεόντιος ὁ τῆς ἐν Κύπρῳ Νεαπόλεως ἅγιος ἐπίσκοπος, γρ. λόγους (ἐξεδόθ. ἑλλην. καὶ λατιν. ὑπὸ Κομβεφισίου in I. tom. Auct. Paris. 1648), κατὰ Ἰουδαίων (ἐξεδ. in Canis. Lect. T. V. in XII tom. B. Galland.), βίους Ἰωάννου τοῦ Ἐλεήμονος, καὶ Συμεὼν τοῦ Σαλοῦ (Act. SS. ad 23 Januar. 1 Julii). 4) Γεώργιος Π. Ἀλεξανδρείας 616-630, γρ. τὸν βίον Ἰωάννου τοῦ Χρυσοστόμου. 5) Ὀλυμπιόδωρος, διάκονος τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας περὶ τὸ 640 [ὁ πολὺς τὰ θεῖα Ὀλυμπιόδωρος ἤκμασε περὶ τὸ 500 καὶ οὐχὶ περὶ τὸ 640, ὡς δοξάζει ὁ συγγραφεὺς καὶ ἄλλοι ἄγαν παραχρονήσαντες Σ. Μ.], γράψας σειρὰν ὑπομνημάτων εἰς τὸν Ἐκκλησιαστήν, εἰς τὸν Ἱερεμίαν, εἰς τοὺς θρήνους, καὶ εἰς τὸν Ἰώβ. 6) Γεώργιος ὁ Ἐλεούσιος περὶ τὸ 640, γρ. τὸν βίον Θεοδώρου τοῦ Συκεώτου. 7] Γεώργιος ὁ Πισίδης, χαρτοφύλαξ περὶ τὸ 640. 8) Τιμόθεος ὁ πρεσβύτερος τῆς Κωνστατινουπόλεως, γρ. περὶ διαφορᾶς τῶν προσερχομένων τῇ εὐαγεστάτῃ ἡμῶν πίστει. 9) Θεόδωρος ὁ τῆς Ῥαϊθοῦς πρεσβύτερος, περὶ τὸ 655, γρ. προπαρασκευήν τινα καὶ γυμνασίαν τῷ βουλομένῳ μαθεῖν τίς ὁ τρόπος τῆς θείας ἐνανθρωπήσεως καὶ οἰκονομίας, καθ' ὃν πέπρακται, καὶ τίνα τὰ πρὸς τοὺς ταύτην μὴ ὀρθῶς νοοῦντας λεγόμενα παρὰ τῶν τῆς Ἐκκλησίας τροφίμων. 10) Ἰω-

§. 244. Ὁ ἅγιος Δωρόθεος, α') ἐν τῷ βίῳ.

Δωρόθεος, ἀρχιμανδρίτης Παλαιστινός, Μαθητὴς τοῦ Ἀββᾶ Ἰωάννου, τοῦ καὶ Προφήτου ἐπικληθέντος, ἐν τῷ Μοναστηρίῳ τοῦ Ἀββᾶ Σερίδου, καὶ ἔπειτα αὐτὸς διδάσκαλος πολλῶν ἐν τῷ κατὰ Παλαιστίνην ὑπ' αὐτοῦ καθιδρυθέντι Μοναστηρίῳ. Ἐκ τῶν λόγων αὐτοῦ γίγνεται δῆλον, ὅτι ἐν τῇ νεανικῇ ἡλικίᾳ ἠσχολήθη μετὰ διαπύρου ἀγάπης περὶ τὰς ἐπιστήμας. « Ὅτε, γράφει, ἀνεγίνωσκον εἰς τὴν ἔξω παιδείαν, ἐκοπίων, καὶ ὅτε ἠρχόμην λαβεῖν τὸ βιβλίον, οὕτως ἤμην, ὡς τις ὑπάγειν ἅψασθαι θηρίου. Ὡς οὖν ἔμεινα βιαζόμενος ἐμαυτόν, ἐβοήθησεν ὁ Θεός, καὶ οὕτως ἐγενόμην ἐν ἕξει τοῦ

άννης ὁ Καρπάθιος, γνωστὸς μόνον τὸ ὄνομα, γρ. πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας μοναχούς. 11) Ἀναστάσιος, τῆς ρωμ. Ἐκκλησίας πρεσβύτερος καὶ ἀποκρισάριος, μαθητὴς τοῦ ἁγίου Μαξίμου καὶ μετ' αὐτοῦ παθὼν († 663), γράψ. ἐπιστολὴν περὶ τῶν ἀγώνων τοῦ ὁσίου Μαξίμου, ἐκδοθεῖσαν ὑπὸ Κομβεφισίου ἐν τοῖς συγγράμμασιν αὐτοῦ. 12) Δανιὴλ ὁ μοναχός, γρ. τὸν βίον τοῦ Π. Καλλινίκου· 13) Ἰσίδωρος ὁ Ἱσπάλεως ἐπίσκοπος († 674), γρ. Chronicon, Hist Gothornm, Vandalorum, Suevorum, de divinis sive eccles. officiis, καὶ ἄλλα πολλά. 14) Βέδας ὁ αἰδέσιμος, Ἄγγλος († 735). Αἱ ἑρμηνεῖαι αὐτοῦ, οἱ λόγοι καὶ ἡ Ἱστορία ἐξεδοθ. in Auct. Basil Coloniæ 1612, 1688. 15) Βαρθολομαῖος, μοναχὸς τῆς Ἐδέσσης, περὶ τὸ 710, γρ. ἀνασκευὴν τοῦ μωαμεθανικοῦ νόμου· 16) Θεόδωρος ὁ Ἀβουκαρᾶς, μαθητὴς τοῦ Δαμασκηνοῦ, ἐπίσκοπος τῶν Καρῶν († 785)· 17) Ἀναστάσιος, Ἀββᾶς τῆς μονῆς τοῦ ἁγ. Εὐθυμίου, γρ. κατὰ Ἰουδαίων· 18) Λεόντιος, Μοναχός, γρ. τὸν βίον τοῦ διδασκάλου αὐτοῦ Στεφάνου τοῦ Σαββαΐτου· 19) Στέφανος, διάκονος, περιγράψας τὰ πάθη τοῦ ἁγ. Στεφάνου († 767) μετὰ 40 ἔτη δηλ. τῷ 807· 20) Ἰγνάτιος διάκ. τῆς Κωνσταντινουπόλεως καὶ Μητροπολίτης Νικαίας, γρ. τοὺς βίους τῶν Π. Ταρασίου καὶ Νικηφόρου, Γρηγορίου τοῦ Δεκαπολίτου, κανόνας τῇ Ὁδηγητρίᾳ, Ἰωάννῃ τῷ τῆς Κλίμακος, τῇ Μ. Τατιανῇ, τῷ Π. Νικηφόρῳ, τοῖς ἁγίοις 42 μάρτυσι τοῖς ἐν τῷ Ἀμορίῳ ἀθλήσασι, καὶ Ἰακώβῳ τῷ Ὁμολογητῇ, ἰαμβικοὺς στίχους τοῖς νέοις, στίχους κατ' ἀλφάβητον, καὶ ἐπιγράμματα· 21) Θεοστήρικτος, γρ. τὸν βίον τοῦ διδασκάλου αὐτοῦ ὁσ. Νικήτα, ἡγουμένου τῆς Μονῆς τοῦ Μηδικίου († 821).

πράγματος, ὥστε μὴ εἰδέναι με τί ἔτρωγον, ἢ τί ἔπινον, ἢ πῶς ἐκοιμώμην, ἐκ τῆς καύσεως τῶν ἀναγνωσμάτων· καὶ οὐδέποτε εἰλκύσθην εἰς ἄριστον μετὰ ἑνὸς τῶν φίλων μου· ἀλλ' οὐδ' εἰς συντυχίαν ἠρχόμην μετ' αὐτοῦ ἐν τῷ καιρῷ τοῦ ἀναγνώσματος, καίτοι φιλοσυνήθης ὢν καὶ ἀγαπῶν τοὺς ἑταίρους μου. Ὡς οὖν ἀπέλυεν ἡμᾶς ὁ σοφιστὴς καὶ ἐλουόμην· (ἔχρῃζον γὰρ καθ' ἡμέραν ἐνυγραίνεσθαι, ἐπειδὰν ἀνεξηραινόμην ἐκ τῆς ὑπερβολῆς τῶν ἀναγνωσμάτων) ἀνεχώρουν, ὅπου ἔμενον, μήτε εἰδὼς ὅτι ἔχω φαγεῖν· οὐκ ἠδυνάμην γὰρ ἀπασχοληθῆναι, οὐδὲ εἰς τὸ ἐπιτάξαι αὐτῷ τὸ φαγεῖν μου». Μετὰ τηλικούτου ζήλου ἠσχολεῖτο ὁ θεῖος ἀνὴρ περὶ τὰ γράμματα. Τὸν αὐτὸν δὲ ζῆλον καὶ τὴν αὐτὴν ἀγάπην ἔδειξε πρὸς τὸν πνευματικὸν βίον ἀποχωρήσας εἰς τὴν ἔρημον. «Ὅτε οὖν ἦλθον, προστίθησιν, εἰς τὸ μοναστήριον, ἔλεγον ἐμαυτῷ: Εἰ ἐπὶ τοῦ ἔξω λόγου ἐγένετο τοιοῦτο πάθος καὶ τοιαύτη θέρμη ἐκ τοῦ σχολάσαι τινὰ τῇ ἀναγνώσει γενέσθαι ἐν ἕξει αὐτῆς, πόσῳ μᾶλλον ἐπὶ τῆς ἀρετῆς; καὶ ἐλάμβανον πολλὴν δύναμιν ἐκ τοῦ πράγματος» ([1]). Εἰσελθὼν εἰς τὸ μοναστήριον τοῦ Σερίδου, ᾠκοδόμησε δαπάνῃ ἀδελφοῦ τινος νοσοκομεῖον, καὶ ὑπηρέτει τοῖς ἐν αὐτῷ ἀσθενέσι καὶ τοῖς ξένοις ([2]). Μεθ' ἡλίκης ἀγάπης ἠσχολεῖτο περὶ ταύτην τὴν ὑπηρεσίαν μαρτυροῦσιν αὐτοὶ αὐτοῦ οἱ λόγοι. « Ὅτε, λέγει, ἤμην ἐν τῷ κοινοβίῳ, ἐποίησέ με ὁ Ἀββᾶς ξενοδόχον μετὰ γνώμην τῶν γερόντων. Ἤμην δὲ καὶ ἀπὸ μεγάλης ἀρρωστίας. Ἤρχοντο οὖν οἱ ξένοι, καὶ ἐσπέριζον μετ' αὐτῶν, καὶ πάλιν καμηλάριοι, καὶ ἐποίουν τὴν χρείαν αὐτῶν· πολλάκις δὲ καὶ μεθ' ὃ ἀπηρχόμην κοιμηθῆναι, πάλιν ἀπήντα ἄλλη χρεία, καὶ ἐξύπνιζέ με. Ἐν τοσούτῳ οὖν ἔφθανεν ἡ ὥρα τῆς ἀγρυπνίας, καὶ ὡς μόνον ἥρπαζον μικρόν, ἰδοὺ ὁ κανονάρχης ἐξύπνιζέ με . . .» Ἵνα καὶ ἐν τοιαύταις περιστάσεσιν ᾖ ἀκριβὴς ὡς πρὸς τὴν ἐκκλησιαστικὴν ὑπηρεσίαν, ἔδει ἀγωνίζεσθαι πρὸς τὴν φύσιν—καὶ ὁ νέος ἀσκητὴς παρεκάλεσε δύο τινὰς τῶν ἀδελφῶν—τὸν μὲν ἐξυπνίζειν αὐτόν, τὸν δὲ μὴ ἀφιέναι αὐτὸν νυστάζειν κατὰ τὴν ἀγρυπνίαν. «Καὶ πιστεύσατέ μοι, προστίθησιν, ἀδελφοί, οὕτως ἐσεβόμην αὐτούς, ὡς ὅτε δι'

([1]) Διδασκαλία Ι'. «Περὶ τοῦ μετὰ σκοποῦ καὶ νήψεως ὁδεύειν τὴν ὁδὸν τοῦ Θεοῦ ».

([2]) Βίος τοῦ Ἀββᾶ Δωροθέου οὐ πολὺ μετὰ τὸν θάνατον αὐτοῦ γραφείς.

αὐτῶν ἦν ἡ σωτηρία μου» (¹). Μεγίστην εὐτυχίαν ἡγήσατο ὅτε ὁ Ἀββᾶς Σερίδης ἐπέβαλεν αὐτῷ ὑπηρετεῖν τῷ μεγάλῳ Ἀββᾷ Ἰωάννῃ τῷ Διορατικῷ. Καὶ πρὸ τούτου ἔτι ὁ Δωρόθεος ἀπεκάλυπτε τῷ Ἀββᾷ τούτῳ τὰ διανοήματα αὐτοῦ, νῦν δὲ παρέδωκεν ἑαυτὸν τέλεον τῇ θελήσει αὐτοῦ. Δέκα ἔτη ὑπηρέτησε τῷ διορατικῷ γέροντι. Καίπερ τοιαύτην ἔχων πρὸς τὸν ἅγ. πίστιν καὶ περὶ τὴν ὑπηρεσίαν αὐτοῦ οὕτω διακείμενος, ἦν ὅμως ἀείποτε πρόθυμος παραχωρῆσαι τὴν ὑπηρεσίαν ταύτην τοῖς αὐτὴν ζητοῦσιν ἀδελφοῖς (²). Ἐκτὸς τῶν μεγάλων Πατέρων τῆς Μονῆς τοῦ Σερίδου ἐπισκέπτετο καὶ ἄλλους μεγάλους συγχρόνους ἀσκητὰς καὶ ἠκροᾶτο αὐτῶν. Ἐν τούτοις ἦν καὶ ὁ Ἀββᾶς Ζωσιμᾶς, ζήσας ἐν προβεβηκυίᾳ ἡλικίᾳ ἐπὶ τοῦ τὸν Ἰουστινιανὸν διαδεξαμένου Αὐτοκράτορος Ἰουστίνου (³). Μετὰ τὴν τελευτὴν τοῦ διορατικοῦ Ἰωάννου, ὅτε ὁ Ἀββᾶς Βαρσανούφιος ἐξέδωκεν ἑαυτὸν εἰς τελείαν σιωπήν, ὁ Δωρόθεος κατέλιπε τὴν Μονὴν τοῦ Σερίδου καὶ ᾠκοδόμησεν ἰδίαν, ἧς ἐγένετο ἡγούμενος καὶ ἀληθὴς πνευματικὸς Πατήρ. Ἐξεδήμησε πρὸς Κύριον τῷ 620ῷ σωτηρίῳ ἔτει.

§· 245. β΄) Ἐν τοῖς συγγράμμασι.

Ὁ ὅσιος Θεόδωρος ὁ Στουδίτης καλεῖ τὸν Ἀββᾶν Δωρόθεον ἐν τῇ Διαθήκῃ αὐτοῦ θεσπέσιον καὶ ἅγιον, ἐπαγόμενος τήν τε τοῦ ἁγιωτάτου Πατριάρχου Ταρασίου περὶ αὐτοῦ ἀπόφανσιν καὶ τὸ πρὸς αὐτὸν ὑπὸ τῆς παραδόσεως διατηρηθὲν σέβας (⁴). Τὰ συγγράμματα τοῦ Ἀββᾶ δεικνῦσιν, ὅτι οὐ μόνον ἐπωφελεῖτο τὴν πρὸς πολλοὺς μεγάλους Πατέρας προσωπικὴν ὁμιλίαν, ὅτι οὐ μόνον ἐξεμάνθανε τοὺς βίους τῶν πρὸ αὐτοῦ γενομένων θείων ἀνδρῶν, ἀλλὰ καὶ ὅτι ἦν εἰδήμων τῶν κοσμικῶν συγγραμμάτων καὶ τῆς ἱστορίας τῆς Ἐκκλησίας. Τῶν μαθητῶν αὐτοῦ τις γράφει: θείᾳ ἀληθῶς καὶ θαυμα-

---

(¹) Διδασκαλ. ια΄. §. 7. «Περὶ τοῦ σπουδάζειν ταχέως ἐκκόπτειν τὰ πάθη πρὸ τοῦ ἐν ἕξει κακῇ γενέσθαι τὴν ψυχήν».

(²) Διδασκαλ. δ΄. «περὶ τοῦ θείου φόβου».

(³) Διδασκαλ. β΄ περὶ ταπεινοφροσύνης».

(⁴) Διαθ. τοῦ ἁγ. Θεοδώρου κεφ. 4. Op. Sirmondi T. V. p. 81, ed. Paris. Πρβλ. ἀνωνύμου Πρόλογ. εἰς τὰ συγγράμματα τοῦ Δωροθέου ap. Oudin. Comment. de script. eccles. T. I. pag. 1628 et 1635.

στῇ εὐφραδείᾳ ἣν ὁ ἀνὴρ ἐκεῖνος πεπροικισμένος, ἀλλ' ἐκ ταπεινοφροσύνης ἐχρῆτο ταπεινῷ καὶ πεζῷ λόγῳ (1). Αἱ διδασκαλίαι τοῦ Ἀββᾶ ἐπικυροῦσι πληρέστατα ταύτην τὴν γνώμην. Ἐν αὐταῖς ἡ τῆς καρδίας εὐφράδεια περικαλύπτει, ἀλλ' οὐκ ἀείποτε κατορθοῖ κρύψαι τὰ τῆς ἐπιστήμης δῶρα, τὴν τῶν ἐννοιῶν δηλονότι κανονικὴν τάξιν, τοὺς ἀκριβεῖς ὁρισμοὺς καὶ τὸ τῶν ἐκφράσεων καθαρόν. Πάνυ ὀρθὸν καὶ τοῦτο, ὅτι διακριτικὸς χαρακτὴρ τῶν Διδασκαλιῶν τοῦ Ἀββᾶ ἐστιν ἡ ἁπλότης, ἀλλ' ἡ ἁπλότης ἁγνῆς ψυχῆς, ἰδιάζουσα τοῖς ὑπὸ τοῦ Ἁγίου κεχρισμένοις. Ἐν ταῖς περὶ ταπεινοφροσύνης διδασκαλίαις ὁρῶμεν, ὅτι ὁ Ἀββᾶς ἐγίνωσκεν αὐτὴν ἐκ πείρας, χειραγωγούμενος δ' ὑπ' αὐτῆς, διδάσκει πολλάκις οὐ ταῖς ἐννοίαις αὐτοῦ, ἀλλὰ ταῖς τῶν Πατέρων, ταῖς ὑπὸ τῆς ψυχῆς αὐτοῦ οἰκειοποιηθείσαις, ἡ δ' ἁπλότης παρέχει τῇ ὁμιλίᾳ πλείστην ὅσην ἡδύτητα.

Ἐκ τῶν κδ' Διδασκαλιῶν ἄρισταί εἰσιν αἱ ἀσκητικαί(2). Ὁ Πίναξ τῶν κεφαλαίων ἔχει ὧδε: Περὶ ἀποταγῆς Διδ. Α'. Περὶ ταπεινοφροσύνης Διδ. Β'. Περὶ συνειδότος Διδ. Γ'. Περὶ φόβου Θεοῦ Διδ. Δ'. Περὶ τοῦ μὴ στοιχεῖν τῇ ἰδίᾳ γνώσει Διδ. Ε'. Περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον Διδ. ΣΤ'. Περὶ τοῦ ἑαυτὸν μέμφεσθαι Διδ. Ζ'. Περὶ μνησικακίας Διδ. Η'. Περὶ ψεύδους Διδ. Θ'. Περὶ τοῦ μετὰ σκοποῦ νήψεως ὁδεύειν τὴν ὁδὸν τοῦ Θεοῦ Διδ. Ι'. Περὶ τοῦ σπουδάζειν ταχέως ἐκκόπτειν τὰ πάθη ἀπὸ τῆς ψυχῆς πρὸ τοῦ ἐν ἕξει κακῇ γενέσθαι Διδ. ΙΑ'. Περὶ φόβου τῆς μελλούσης κολάσεως καὶ τοῦ μηδέποτε ἀμελεῖν τῆς ἰδίας σωτηρίας Διδ. ΙΒ'. Περὶ τοῦ ἀταράχως καὶ εὐχαρίστως φέρειν τοὺς πειρασμοὺς Διδ. ΙΓ'. Περὶ οἰκοδομῆς τῶν τῆς ψυχῆς ἀρετῶν Διδ. ΙΔ'. Περὶ τῶν ἁγίων νηστειῶν Διδ. ΙΕ'. Πρός τινας κελλιώτας περὶ τοῦ παραβαλεῖν ἐρωτήσαντας Διδ. ΙΣΤ'. Περὶ τοὺς ἐν Μοναστηρίοις ἐπιστάτας καὶ μαθητὰς πῶς δεῖ ἐπιστατεῖν τῶν ἀδελφῶν καὶ πῶς τοῖς ἐπιστατοῦσιν ὑποτάσσεσθαι Διδ. ΙΖ'.

(1) Οὕτω γράφει ὁ συγγραφεὺς τῆς ἐπιστολῆς, ἥτις χρησιμεύει ὡς πρόλογος εἰς τὰς Διδασκαλίας τοῦ Ἀββᾶ Δωροθέου. [Τὸ τελευταῖον μέρος τῆς ἐπιστολῆς ταύτης διεσώθη μόνον λατινιστί Σ. Μ.].

(2) Ἐξεδόθ. ἑλην. καὶ λατιν. inter Ortodoxographa, Basiliæ, 1569, in Duc. Auctor. B. Patr. T. I, Parisiis 1624. in XII Tom. Gallandii B. Patr.

Περὶ τοῦ ἔχοντος τὴν διακονίαν τοῦ κελλαρίου Διδ. ΙΗ΄. Περὶ διαφόρων ἐρωτημάτων ὡς ἐν συντόμῳ Διδ. ΙΘ΄. Πρὸς ἀδελφὸν ἐρωτήσαντα περὶ ἀναισθησίας ψυχῆς καὶ περὶ ψύξεως ἀγάπης Διδ. Κ΄. Περὶ πένθους Διδ. ΚΑ΄. Ἑρμηνεία τινῶν ῥητῶν τοῦ ἁγίου Γρηγορίου Διδ. ΚΒ΄. Ἑρμηνεία ἑτέρα τῶν ῥητῶν τοῦ Γρηγορίου Διδ. ΚΓ΄. de compositione ecclesiastici ordinis. Διδ. ΚΔ΄.

Ἐν τῇ περὶ ἀποταγῆς Διδασκαλίᾳ ἐκτίθησιν ἐξαιρέτους διδασκαλίας περὶ τῆς μοναχικῆς ἐσθῆτος, τοῦ σχήματος δηλονότι, τῆς δερματίνης ζώνης, τοῦ ἀναλάβου, τοῦ κουκουλίου, καὶ περαίνει τὰς ἑρμηνείας ὧδε: « Πολιτευόμεθα οὖν πρὸς τὸ σχῆμα, ὡς εἶπον οἱ Πατέρες, ἵνα μὴ ἀλλότριον σχῆμα φορῶμεν».

Ἐν τῇ διδασκαλίᾳ περὶ τοῦ μὴ ὀφείλειν τινὰ στοιχεῖν τῇ ἰδίᾳ συνέσει γράφει περὶ τῆς ἀξίας τῆς αὐταπαρνήσεως· « καὶ οὕτως οὐδέποτε συνεχώρουν τῷ λογισμῷ πεισθῆναι ἐμαυτῷ ἄνευ ἐπερωτήσεως· καὶ πιστεύσατέ μοι, ἀδελφοί, ὅτι ἤμην ἐν μεγάλῃ ἀναπαύσει, ἐν μεγάλῃ ἀμεριμνίᾳ, ὥστε με δυσχεραίνειν ἐπὶ τούτῳ· καθὼς καὶ ἄλλοτε οἶδα εἰπεῖν ὑμεῖν. Ἤκουον γάρ, ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἔβλεπον ἐμαυτὸν μηδεμίαν θλῖψιν ἔχοντα καὶ ἐφοβούμην, καὶ ἐν ἀπορίᾳ ἤμην μὴ γινώσκων τὴν αἰτίαν τῆς τοιαύτης ἀναπαύσεως, ἕως οὗ ἐδήλωσέ μοι ὁ γέρων, ὅτι μὴ θλιβῇς. Ἕκαστος γὰρ βάλλων ἑαυτὸν εἰς ὑπακοὴν Πατέρων, ταύτην τὴν ἀνάπαυσιν καὶ τὴν ἀμεριμνίαν ἔχει».

Πλὴν τῶν διδασκαλιῶν τοῦ ἁγίου Ἀββᾶ εἰσι γνωστὰ ἐκ τῶν χειρογράφων:

α΄) 30 Κεφάλαια ἢ Λόγοι περὶ ἀσκήσεως (1).

β΄) Ὁ αὐτὸς ἔγραψε τὰς ἀπὸ στόματος διδασκαλίας τοῦ ὁσίου Ζωσιμᾶ (2).

(1) Τὰ Κεφάλαια ταῦτα εὑρίσκονται ἐν τοῖς ἑλλην. χειρογρ. τῆς ἐν Μόσχᾳ συνοδ. Βιβλ. Νο 270 (257), ἐν χειρογρ. τοῦ ιγ΄ αἰῶνος Βιβλιοθ. τοῦ ἁγ. Μάρκου καὶ ἐν πολλοῖς ἄλλοις ap. Montfaucon. B. Coislin. p. 1302.

(2) Ἐν τοῖς ἑλλην. χειρογρ. τοῦ ιδ΄ αἰῶνος συνοδ. Βιβλ. τῆς Μόσχας Νο 363 (350) ἀναγινώσκονται: Τοῦ

γ΄) Ὁ αὐτὸς συνέλεξε τὸ μὲν ἐγγράφους, τὸ δὲ ἀπὸ στόματος διδασκαλίας τῶν ἁγίων Πατέρων Βαρσανουφίου καὶ Ἰωάννου (1).

§. 246. Μόδεστος Πατριάρχης Ἱεροσολύμων.

Ὁ μακάριος Μόδεστος, κατὰ τὰ ἔσχατα τοῦ βίου αὐτοῦ, Πατριάρχης Ἱεροσολύμων, ἔζησεν ἐν παγχαλέπῳ τῇ ἁγίᾳ Πόλει χρόνῳ. Καθηγουμένου ὄντος τῆς τοῦ Θεοδοσίου Μονῆς, ἐπέδραμε τῇ Συρίᾳ καὶ τῇ Παλαιστίνῃ Χοσρόης ὁ Πέρσης. Τεσσαράκοντα χιλιάδες Ἑβραίων συνηνώθησαν τοῖς Πέρσαις, ὅπως ἐξοντώσωσι τοὺς χριστιανοὺς τῆς Παλαιστίνης. Ἡ ὠμότης τῶν ἐχθρῶν τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐξεδηλώθη θηριωδῶς κατὰ τῆς Ἱερουσαλὴμ καὶ τῶν περιχώρων αὐτῆς· κατεσφάγησαν πολλαὶ χιλιάδες μοναχῶν καὶ κληρικῶν, κατεστράφησαν καὶ κατεκάησαν ἅπαντες οἱ ἱεροὶ ναοί, ἐν οἷς καὶ ὁ τοῦ Παναγίου Τάφου. Ὁ Π. Ζαχαρίας μετὰ πολλοῦ λαοῦ καὶ τοῦ Σταυροῦ τοῦ Κυρίου ἀπήχθη εἰς ἐθνικὴν αἰχμαλωσίαν. Οἱ Ἰουδαῖοι ἠγόρασαν παρὰ τῶν Περσῶν χιλιάδας τινὰς χριστιανῶν, οὓς ἐφόνευσαν. Ὁ ἀριθμὸς ἁπάντων τῶν φονευθέντων χριστιανῶν ἀνήρχετο μέχρι τῶν 90,000. Τοῦτο συνέβη τῷ 614ῳ σωτηρίῳ ἔτει (2). Τῷ σωθέντι καθηγουμένῳ τῆς Μονῆς τοῦ Θεοδοσίου ἀνετέθη ὑπὸ τὸ ὄνομα τοῦ ἐπιτηρητοῦ τοῦ Πατριαρχικοῦ θρόνου ἡ διοίκησις τῆς καταβεβλημένης Ἐκκλησίας τῆς Παλαιστίνης. Πρὸ παντὸς ἄλλου συνέλεξε τὰ λείψανα τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα φονευθέντων μοναχῶν, καὶ μετὰ τιμῆς κατέθετο αὐτὰ ἐν ταῖς θήκαις τῶν Πατέρων. Ἔπειτα δὲ ἐσπούδασε μετ᾽ ἀκροτάτου ζήλου ἀνακαινῶσαι τοὺς βεβηλωθέντας ἁγίους τόπους. Οὔτε τὴν τῶν Ἰουδαίων μοχθηρίαν, οὔτε τὴν τῶν περσικῶν ἀρχῶν αὐθαιρεσίαν φοβούμενος

ἁγίου Ζωσιμᾶ Κεφάλαια συγγραφέντα παρὰ τοῦ ἁγίου Δωροθέου. Ἐπ᾽ ἴσης ἐν τῇ Βιβλ. τοῦ ἁγίου Μάρκου (Cod. 498. catal. p. 261.) καὶ τῆς Βιέννης (Lambec. Comment. V. 166).

(1) Αἱ Ἀποκρίσεις τοῦ Βαρσανουφίου καὶ τοῦ Ἰωάννου εἰς τὰς ἐρωτήσεις τοῦ Δωροθέου ἐν τοῖς αὐτοῖς χειρόγρ. τῆς ἐν Μόσχᾳ συνοδ. Βιβλθ. No 270 (257), ἔνθα καὶ τὰ Κεφάλαια τοῦ Δωροθέου περὶ ἀσκήσεως.

(2) Παῦλ. Διάκον. ἱστ. Βιβλ. ΙΗ. Ἀντίοχ. κεφ. 107 in Auct. Patr. 1624. p. 1248. 1250.

ὁ Μόδεστος, ἀνήγειρεν ἐκ τῶν ἐρειπίων τὸ οἰκοδόμημα τοῦ παναγίου Τάφου, τὸν ναὸν τοῦ Γολγοθᾶ, καὶ τὸν ἐν Βηθλεὲμ ναὸν τῆς Γεννήσεως τοῦ Σωτῆρος. Μεγάλην πρὸς τοῦτο βοήθειαν παρέσχεν αὐτῷ ὁ Π. Ἀλεξανδρείας ἅγ. Ἰωάννης ὁ Ἐλεήμων, πέμψας αὐτῷ χίλια χρυσᾶ νομίσματα, χιλίους σάκκους πλήρεις σίτου, χιλίους σάκκους ὀσπρίων, χιλίας λίτρας σιδήρου, χιλίας σπείρας ἐξηραμένων ἰχθύων, χίλια ἀγγείδια οἴνου, καὶ χιλίους Αἰγυπτίους ἐργάτας. Ὁ αἰχμάλωτος Πατριάρχης Ζαχαρίας παρηγόρει αὐτὸν καὶ τὸ ποίμνιον γράφων αὐτοῖς τὰ καθ᾽ ἑαυτὸν καὶ προτρέπων αὐτοὺς εἶναι σταθεροὺς ἐν τῇ πίστει (1). Ὁ θεῖος οὗτος ἀνὴρ ἐπανῆλθε τῷ 628 ἐκ τῆς αἰχμαλωσίας, φέρων μεθ᾽ ἑαυτοῦ τὸν Σταυρὸν τοῦ Κυρίου, ἀλλὰ καταβεβλημένος ὑπὸ τῶν θλίψεων, ἐτελεύτησε κατὰ τὸ αὐτὸ ἔτος. Ἐπὶ τὸν πατριαρχικὸν θρόνον ἀνεβιβάσθη ὁ ἀνακαινιστὴς τῶν σεβασμάτων τῆς Ἱερουσαλήμ· ἀλλὰ καὶ οὗτος οὐ πλέον τῶν πέντε ἐτῶν ἰθύνας αὐτόν, ἀνεπαύσατο ἐν Κυρίῳ τῷ 633ῳ σωτηρίῳ ἔτει (2).

Ἐκεῖνος, ᾧ ἀνετέθησαν ὑπὸ τῆς θείας Προνοίας τοσαῦται μέριμναι καὶ τοσοῦτοι κόποι πρὸς ἀνέγερσιν ἱερῶν ναῶν, οὐκ εἶχε βεβαίως καιρόν, ἵνα διδάσκῃ τοὺς ἄλλους δι᾽ ἐγγράφων διδασκαλίων· οὐ μὴν ἀλλὰ δεικνῦσι τὰ μνημεῖα, ὅτι ὁ ἅγιος Μόδεστος οὐ παρεώρα καὶ τὸ ἔργον τοῦ διδάσκειν.

Ὁ Πατριάρχης Φώτιος ἀνέγνω τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου ἐγκώμιον εἰς τὴν Κοίμησιν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας (3). Ὁ λόγος οὗτος διεσώθη καὶ μέχρις ἡμῶν (4). « Καὶ περὶ τῆς πανεντίμου Κοιμήσεως Αὐτῆς οὐκ οἶδ᾽ ὅπως οὐ πέφηναν, ἢ καὶ ἐκθέμενοι οὐκ ἔτυχον οἱ μετέπειτα. Διὸ δὴ καὶ κατὰ τὴν ἡμέραν τῆς Θεομητορικῆς Κοιμήσεως πλεῖστοι κεχήνασιν ὅσοι φιλομαθεῖς, ἤγουν χριστομαθεῖς, καὶ φιλακροάμονες συνετοὶ τῶν θείων, τί ἀπόρρητον μαθεῖν γλιχόμενοι περὶ αὐτῆς». Οὕτως ὁμιλεῖ ὁ ἅγ. Μόδεστος ἐν τῇ ἀρχῇ τοῦ λόγου· ἔπειτα ἐκτίθησιν ἐν

(1) Ζαχαρ. Π. Ἱεροσολ. πρὸς τὴν Ἐκκλησ. αὐτοῦ ἐκ Περσίδος. Τοῦ αὐτοῦ ἐπ. πρὸς Μόδεστον ed a Combeficio gr. lat. Parisiis, 1656.8.

(2) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ιςʹ. Δεκεμβρίου.

(3) Ἀνάγν. σοεʹ. σελ. 152.

(4) Ἐξεδ. ὑπὸ Mich. Ang. Giacomello gr. lat. Romæ, 1760. 4. Πρβλ. Lequien. Oriens. Christ. II. 820.857.

ἀκριβείᾳ τὴν ἱστορίαν τῆς Κοιμήσεως τῆς Θεοτόκου· ἐπὶ δὲ τούτοις ἑρμηνεύει τὸ μυστήριον τῆς Ὑπεραγίας Τριάδος καὶ τῆς Ἐνανθρωπήσεως τοῦ Λόγου τοῦ Θεοῦ καὶ ἐκχέει εὐσεβῆ πρὸς τὴν Θεομήτορα αἰσθήματα οὐ μόνον ἀφ᾽ ἑαυτοῦ, ἀλλὰ καὶ ἀφ᾽ ἁπάσης τῆς ὀρθοδόξου Ἐκκλησίας.

Δυστυχῶς δύο ἄλλοι λόγοι τοῦ ἁγίου Μοδέστου εἰς τὰς Μυροφόρους καὶ εἰς τὴν Ὑπαπαντήν, οὓς ἀνέγνω ὁ Π. Φώτιος, οὔπω ἀνευρέθησαν.

Ἐν τῷ πρώτῳ τῶν λόγων τούτων ὁ ἅγιος Μόδεστος, κατὰ τὴν περιγραφὴν τοῦ Φωτίου, μετεδίδω εἰδήσεις ἀξίας σπουδῆς περὶ τῆς ἁγίας Μαρίας τῆς Μαγδαληνῆς. «Τὸν ἕβδομον ἀριθμὸν καὶ ἐπὶ τῆς ἀρετῆς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν τὴν Γραφὴν παραλαμβάνουσαν. Εἰκότως οὖν τὴν Μαρίαν ἐκλέγεται τὴν Μαγδαληνὴν ὁ Σωτήρ, ἀφ᾽ ἧς ἐκβεβλήκει δαιμόνια ἑπτά, ἵνα τὸν ἄρχοντα τῆς κακίας δι᾽ αὐτῆς ἀπελάσῃ τῆς ἀνθρωπίνης φύσεως· ὅτι, φησίν, αἱ ἱστορίαι τὴν Μαγδαληνὴν ταύτην διὰ βίου παρθένον διδάσκουσι. Καὶ μαρτύριον δ᾽ αὐτῆς φέρεται, ἐν ᾧ λέγεται διὰ τὴν ἄκραν αὐτῆς παρθενίαν καὶ καθαρότητα, ὡς ὕαλον αὐτὴν καθαρὸν τοῖς βασανισταῖς φαίνεσθαι. Ὅτι, φησί, μετὰ τὴν κοίμησιν τῆς Δεσποίνης ἡμῶν Θεοτόκου πορευθεῖσα εἰς Ἔφεσον πρὸς τὸν ἠγαπημένον μαθητήν, ἐκεῖσε τὸν δρόμον τὸν ἀποστολικὸν διὰ τοῦ μαρτυρίου ἡ Μυροφόρος Μαρία ἐτελείωσε, μὴ θελήσασα μέχρι τῆς τελευτῆς χωρισθῆναι τοῦ Παρθένου καὶ Εὐαγγελιστοῦ Ἰωάννου. Ὥσπερ, φησίν, ἡ ἀπαρχὴ τῶν Ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχε ἐπὶ Χριστὸν τὴν Πέτραν, οὕτω καὶ αὕτη ἀρχηγὸς τῶν Μαθητριῶν γενομένη διὰ τὴν καθαρότητα αὐτῆς καὶ τὸν πόθον, ὃν εἶχεν εἰς αὐτόν, Μαρία ὁμωνύμως τῇ Μητρὶ παρὰ τοῦ Σωτῆρος προσηγόρευται. Ὥσπερ τῷ Δεσπότῃ τῶν Μαθητῶν ἠκολούθει ὁ χορός, οὕτω τῇ Δεσποίνῃ καὶ Μητρὶ τοῦ Κυρίου τῶν μαθητευομένων γυναικῶν ὁ χορός. Ἐθαύμαζον γάρ, φησί, ποτὲ οἱ μαθηταί, ὅτι μετὰ γυναικὸς ἐλάλει, δῆλον ὡς οὐκ οὔσης τοιαύτης συνηθείας τῷ Κυρίῳ, ἀλλὰ τὸν εὐαγγελικὸν δρόμον τῆς Μητρὸς τοῦ Δεσπότου συνεξανιούσης τῷ Υἱῷ καὶ Δημιουργῷ, καὶ αὗται συνακολουθοῦσαι Αὐτῇ τῷ κοινῷ Δεσπότῃ

ἐκ τῶν ὑπαρχόντων ἐν τοῖς ἀναγκαίοις καὶ τοῖς μαθηταῖς διηκόνουν»([1]).

§. 247. Λεόντιος ὁ Ἱεροσολυμίτης καὶ Ἀντίοχος.

Λεόντιος ὁ Βυζάντιος, τὸ ἐπάγγελμα Σχολαστικὸς ἢ συνήγορος, ἐνεπλάκη νέος ἔτι ὢν ταῖς πάγαις τῶν Νεστοριανῶν, ἀλλὰ τῇ θείᾳ χάριτι ἀπαλλαγεὶς τῶν πονηρῶν ἀνθρώπων ἀπηρνήσατο τὰς δικανικὰς μερίμνας([2]), καὶ διήθλησεν ἐν τῷ Κοινοβίῳ τῆς ἐν Παλαιστίνῃ Σαββαΐτιδος Λαύρας τὸν μοναστικὸν ἀγῶνα, διὸ καὶ Ἱεροσολυμίτης ἐπιλέγεται ([3]). Διδαχθεὶς ὑπὸ τῆς πείρας τί σημαίνει αἵρεσις καὶ αἱρετικοί, ἐχρήσατο ταῖς τε δυνάμεσι καὶ ταῖς πλουσίαις αὐτοῦ γνώσεσι πρὸς καταπολέμησιν τῶν συγχρόνων αὐτῷ πλανῶν ἔν τε λόγοις καὶ γραφῇ. Τοῦτο ἐγένετο ἐν τῇ ἀρχῇ τοῦ ζ΄ αἰῶνος· ἐξεδήμησε δὲ πρὸς Κύριον τῷ 624φ ἔτει ([4]).

Λεόντιος βυθὸς θεολογίας ᾄδει Θεόδωρος ὁ Στουδίτης ([5]).

Συγγράμματα αὐτοῦ:

1) Περὶ αἱρέσεων βιβλίον ([6]) ἐν δέκα Πράξεσιν. Ὁ μακά-

([1]) Ἀνάγν. σοε΄.

([2]) Τὴν πρὸς τοὺς Νεστοριανοὺς φιλίαν αὐτοῦ ὀδυνηρῶς ἀποκλαίεται ὁ θεῖος ἀνὴρ ἐν τῷ κατὰ Νεστορ. καὶ Εὐτυχιαν. Γ΄ αὐτοῦ βιβλίῳ.

([3]) Ἐν ταῖς ἐπιγραφαῖς τῶν συγγραμμάτων αὐτοῦ καλεῖται ὁτὲ μὲν Βυζάντιος Σχολαστικός, ὁτὲ δὲ Ἱεροσολυμίτης μοναχός. Lambec. Comment. III. 178. Τὸ κατὰ Νεστορ. καὶ Εὐτυχιανῶν σύγγραμμα ἐπιγράφεται in Cod. 69. B. S. Marci: Τοῦ πανσόφου μοναχοῦ κὺρ Λεοντίου τοῦ Ἱεροσολυμίτου.

([4]) Ἐν τῷ περὶ αἱρέσεων βιβλίῳ (Πρ. ε΄. 5) ἀπαρίθμησιν ποιούμενος τῶν πατριαρχῶν τῆς Ἀλεξανδρείας καταπαύει αὐτὴν ἐν τῷ μακαρίῳ Εὐλογίῳ (581—608) [ὁ ἅγιος Εὐλόγιος ἀνέβη τῷ 581 ἐπὶ τὸν πατριαρχ. τῆς Ἀλεξανδρείας θρόνον, ὃν ἴθυνεν 27 ἔτη. Ἐντεῦθεν δυνατὸν ἐξαγαγεῖν, ὅτι, Πατριάρχου ὄντος αὐτοῦ, συνεγράφη τὸ περὶ αἱρέσεων βιβλίον τοῦ ἁγ. Λεοντίου. Σ. Μ.]. Κατὰ Νικηφόρον τὸν Κάλλιστον (Ἐκκλ. Ἱστορ. ιη΄. 48), ὁ Λεόντιος ἤλεγξε τὰς πλάνας Ἰωάννου τοῦ Φιλοπόνου († 610) ὀλίγον τι πρὸ Γεωργίου τοῦ Πισίδου, ἀκμάσαντος περὶ τὸ 630.

([5]) Καν. τοῦ Σαββάτου τῆς Τυρινῆς.

([6]) Ἐξεδ. gr. lat. Basil. 1578, in magna Bibl. Patr. Paris. 1644.

ριος Λεόντιος προτίθησι τὴν ὁμολογίαν τῆς πίστεως (Πρ. Α΄.), καὶ τὸν κανόνα τῆς Ἁγίας Γραφῆς (Πρ. Β΄), προστιθεὶς σύνοψιν τῶν κυρίων περὶ τῆς Παναγίας Τριάδος καὶ τῆς θείας Ἐνανθρωπήσεως αἱρέσεων (Πρ. Α΄. §. 4), πρὸς δὲ τὴν ἔκθεσιν τῆς διδασκαλίας τῶν Ἰουδαίων καὶ τῶν Σαμαρειτῶν (Πρ. Β΄. §. 5-8). Διαιρεῖ τοὺς Χριστιανικοὺς χρόνους εἰς δύο περιόδους, δηλ. ἀπὸ τῆς Γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ μέχρι Κωνσταντίνου τοῦ Μεγάλου, καὶ ἀπ᾽ αὐτοῦ μέχρι τῶν χρόνων αὐτοῦ· καταλέγει τοὺς Πατέρας καὶ Διδασκάλους τῆς πρώτης περιόδου (Πρ. Γ΄. §. 1.), ἔπειτα τὰς αἱρέσεις τῶν Μανιχαίων (§. 2.) καὶ Παύλου τοῦ Σαμοσατέως (§. 3). Ἀπαριθμεῖ ἐπ᾽ ἴσης τοὺς Πατέρας καὶ Διδασκάλους τῆς ἑτέρας περιόδου (Πρ. Γ΄. §. 4), ἔπειτα τὰς αἱρέσεις τοῦ Ἀρείου (§. 4), τοῦ Μακεδονίου, τοῦ Ἀπολλιναρίου, τοῦ Νεστορίου καὶ τοῦ Εὐτυχοῦς (Πρ. Δ΄.), καὶ τὰς ταραχὰς καὶ τὰς στάσεις τῆς εὐτυχιανῆς αἱρέσεως (Πρ. Ε΄. πρβλ. Πρ. ι΄. §. 1-3). ἀνασκευάζει τὰς πλάνας τοῦ Εὐτυχοῦς καὶ τὰς κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου ἐνστάσεις (Πρ. ς΄. ζ΄. θ΄.), ἐκτιθεὶς τὴν διδασκαλίαν τῶν ἀρχαίων Πατέρων (Πρ. Η΄.). Τέλος ἐλέγχει τὰς πλάνας τοῦ Ὠριγένους (Πρ. Ι΄. §. 4-5).

2) Τρία βιβλία κατὰ Νεστοριανῶν καὶ Εὐτυχιανῶν (¹). Ἐν τῷ πρώτῳ ἀνασκευάζων τὰς ἐνστάσεις τῶν αἱρετικῶν τούτων, ὑπερασπίζει τὴν προσωπικὴν ἕνωσιν τῶν ἐν Χριστῷ δύο φύσεων. Ἐν τῷ δευτέρῳ ἐλέγχει ἐν εἴδει διαλόγου τὰς πλάνας τῶν Ἀφθαρτοδοκητῶν. Ἐν τῷ τρίτῳ ἀποκαλύπτει τοὺς δόλους τῶν Νεστοριανῶν καὶ ἑρμηνεύει τὴν ἀρχὴν τῆς αἱρέσεως αὐτῶν. Ἐν ἑκάστῳ τῶν τριῶν τούτων βιβλίων ἀναφέρονται χωρία ἐκ τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων.

3) Ἑπτὰ βιβλία κατὰ Νεστοριανῶν. Ἐν τῷ συγγράμματι τούτῳ πραγματεύεται βαθεῖα θεολογικῇ θεωρίᾳ περὶ τῆς ἑνώ-

---

T. XI. 493 - 533. in Galland. Bibl. Patr. XII. 625-627.

(¹) Ἐξεδ. λατιν. in Canisii Lect. T. 1. p. 535-536. in Galland. B. P. T. XII. p. 658-59. ἑλλην. in Maii Spicileg. Rom. XI. 1-39. 95-127. 66-94 [Τὸ σύγγραμμα τοῦτο ἐπιγράφεται: τῆς κατὰ τὴν Θεότητα τοῦ Κυρίου καὶ ἀνθρωπότητα ἐναντίας δοκήσεως Νεστορίου καὶ Εὐτυχοῦς ἔλεγχος καὶ ἀνατροπή. Σ. Μ.]

σεως τῆς θείας τοῦ Χριστοῦ φύσεως μετὰ τῆς ἀνθρωπίνης (βιβλ. Α΄.), περὶ τοῦ ἑνιαίου τοῦ προσώπου τοῦ Χριστοῦ (βιβλ. Β΄.), περὶ τοῦ ἑνὸς Υἱοῦ Χριστοῦ (βιβλ. Γ΄.), καὶ περὶ τῆς Θεοτόκου Μαρίας (βιβλ. Δ΄.), περὶ τοῦ Χριστοῦ Θεοῦ καὶ ἀνθρώπου (βιβλ. Ε΄.), περὶ τοῦ Χριστοῦ οὐκ ἀνθρώπου θεοφόρου, ἀλλὰ Θεοῦ ἐνανθρωπήσαντος (βιβλ. ΣΤ΄.), τέλος περὶ τῶν λέξεων: εἷς τῆς ἁγίας Τριάδος ἔπαθε σαρκὶ Ζ΄).

4) Βιβλίον κατὰ Μονοφυσιτῶν, ἐν ᾧ τὸ μὲν πρῶτον σχολαστικῷ καὶ φιλοσοφικῷ τρόπῳ καταπολεμεῖ τὴν πλάνην περὶ τῆς μιᾶς τοῦ Χριστοῦ φύσεως μετὰ πολλῆς δυνάμεως καὶ συνέσεως, ἔπειτα δὲ ἀναφέρει καὶ ἀναπτύσσει τὰς ῥήσεις τῶν ἁγίων Πατέρων.

5) Τριάκοντα Κεφάλαια κατὰ Σευήρου τοῦ μονοφυσίτου, ἢ τοσαῦται ἀποδείξεις κατὰ τῆς μονοφυσιτικῆς δοξασίας ([1]).

6) Ἐπίλυσις τῶν ὑπὸ Σευήρου προβεβλημένων συλλογισμῶν ([2]) ἐν εἴδει διαλόγου (α).

7) Βιβλίον κατὰ τῶν ἀπατῶν τῶν Ἀπολλιναριστῶν(β), ἐν ᾧ ἐπ᾽ ἴσης καταπολεμεῖ τοὺς Εὐτυχιανούς, οἵτινες, ὅπως δείξωσι τὴν παράδοσιν ὑπὲρ ἑαυτῶν οὖσαν, ἐχρῶντο συγγράμμασι τῶν Πατέρων, ἢ νόθοις, ἢ παρεφθαρμένοις ([3]).

Ὁ δὲ Μακάριος Ἀντίοχος «τῷ μὲν γένει Γαλάτης ἀπὸ κώμης λεγομένης Μεδοσαγᾶ, διακειμένης ἐν τοῖς μέρεσι τῆς πόλεως Ἀγκύρας ὡς ἀπὸ σημείων εἴκοσι» ([4]), διήνυσε τοὺς ἀσκητικοὺς ἄθλους ἐν τῇ εὐαγεστάτῃ Λαύρᾳ τοῦ ἁγίου Σάββα. Ἐνταῦθα ἐθρήνη-

([1]) In Maii Collect. Vet. Auct. VII. p. I. p. 40-45. in Galland. B. p. XII. p. 715-718.

([2]) In Maii Spicil Rom. T. X. Romæ, 1844. p. 2. p. 40-65. in Galland. P. P. T. XII. p. 708—715.

(α) Ὁ διάλογος γίγνεται μεταξὺ ὀρθοδόξου καὶ μονοφυσίτου (ἀκεφάλου). Ἐν αὐτῷ ἀπελέγχει πάνυ ἀκριβῶς ὁ θεῖος Πατὴρ τὴν εὐτυχιανὴν αἵρεσιν ἀνασκευάζων ἄρδην τὰς τῶν ἀντιπάλων ἐνστάσεις Σ. Μ.

(β) Τὸ βιβλίον τοῦτο ἐπιγράφεται: πρὸς τοὺς προφέροντας ἡμῖν τινα τῶν Ἀπολλιναρίου ψευδῶς ἐπιγεγραμμένα εἰς ὄνομα τῶν ἁγίων Πατέρων Σ. Μ.

([3]) In Maii Spicil. Rom. T. X. P. II. p. 128-151. Galland. B. P. XII. p. 701-707.

([4]) Lambec. III. p. 140. p. 354. ed Collar.

σε « τὸν ἐμπρησμὸν τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ τὴν τοῦ ἁγίου Σταυροῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μετάστασιν ἐν Περσίδι» (1), ὅπερ ἐγένετο τῷ 614ῳ ἔτει. « Ἦλθοσαν, γράφει, ἔθνη εἰς τὴν κληρονομίαν Σου καὶ ἐμίαναν ναὸν τὸν ἅγιόν Σου, ἐν ᾧ τὸ τῆς Οἰκονομίας τοῦ Μονογενοῦς Σου Υἱοῦ ἐτελεσιουργήθη μυστήριον, καὶ ἐνέπρησαν πυρὶ τὸ ἁγιαστήριόν Σου, καὶ ἔθεντο Ἱερουσαλήμ, ὡς ὀπωροφυλάκιον, καὶ τὰ θνησιμαῖα τῶν δούλων Σου ἐν μέσῳ καὶ κύκλῳ Ἱερουσαλήμ· καὶ ὁ θάπτων οὐκ ἦν. Καὶ τὴν ἰσχὺν ἡμῶν, καὶ καλλονήν, καὶ τὸ σωτήριον ἡμῶν, τὸν Σταυρὸν τοῦ Χριστοῦ Σου παρέδωκας τοῖς ὑπεναντίοις, καὶ ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν καὶ τοῖς μακράν, μυκτιρισμὸς καὶ χλευασμὸς πᾶσι τοῖς ἔθνεσιν, ὅτι ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν . . . » (2). Ἔπειτα δὲ παρεμυθεῖτο τῷ ὅτι ὁ μακάριος Μόδεστος μετὰ μερίμνης ἀποκαθίστη τὴν τάξιν ἐν τοῖς ἐρημωθεῖσι μοναστηρίοις καὶ ἀνεκαίνιζε τὸν ναὸν τῆς Ἱερουσαλήμ (3). Ὁ μέγας Ἀντίοχος, ὡς καλεῖ αὐτὸν ὁ ὅσιος Θεόδωρος (4), ἐξεδήμησε πρὸς Κύριον περὶ τὸ 635.

Ὁ μακάριος Ἀντίοχος συνέγραψεν Ἐπιτομὴν πάσης τῆς θείας Γραφῆς Παλαιᾶς τε καὶ Καινῆς (5), ἤτοι σύνοψιν τῆς χριστιανικῆς πίστεως καὶ ἠθικῆς κατὰ τὰς διδασκαλίας τῶν θείων Γραφῶν, ἐν Κεφαλαίοις ἢ Λόγοις ΡΛ΄. (6). Τὸ σύγγραμμα τοῦτο ἐγράφη, ὡς γίγνεται δῆλον ἐκ τῆς προτασσομένης αὐτοῦ ἐπιστολῆς καὶ ἐκ τοῦ τέλους αὐτοῦ, κατὰ παράκλησιν Εὐσταθίου ἡ-

(1) Κεφ. 117.

(2) Περὶ προσ. καὶ ἐξομολογ. σελ. 1248.

(3) Ἐπ. Ἀντιόχ. πρὸς Εὐστάθιον ἡγούμενον Ἀτταλινῆς.

(4) Ἐν τῷ Καν. τοῦ Σαββάτου τῆς Τυρινῆς. Ὁ βίος τοῦ Ὁσίου Ἀντιόχου μοναχοῦ τῆς Παλαιστίνης μένει ἐν χειρογράφοις. Lombec, Comment. III. p. 354.

(5) Ἐξεδ. ὑπὸ Δουκαίου in I. tom. Accet. Patr. Paris. 1624. in XII. tom. B. P. 1644, 1654. lat. in tom. XII. B. P. Lugd. 1677. Ἡ συμπλήρωσις ap. Lambec. Comm. Vind. III. p. 349-354.

(6) Ἐν τῇ πρὸς Εὐστάθ. ἐπ. λέγει αὐτὸς ὁ συγγραφεύς: « Περιστήσας πάντα τὰ παρ' ὑμῶν ἐκ τῆς θείας Γραφῆς ἐπιζητούμενα, εἰς ἑκατὸν τριάκοντα Κεφάλαια ἡνωμένα τε καὶ διακεκριμένα ἀπ' ἀλλήλων, ὡς μὴ σύγχυσιν καὶ φυρμὸν ὑπομεῖναι τὸν ἀναγινώσκοντα».

γουμένου τῆς Ἀτταλανῆς Μονῆς, τῆς πόλεως Ἀγκύρας τῆς ἐν Γαλατίᾳ. «Ἐπειδή, λέγει, γέγραφάς μοι, τίμιε Πάτερ Εὐστάθιε, πολλὴν θλίψιν ὑπερμεμενηκέναι, τόπον ἐκ τόπου, καὶ χώραν ἐκ χώρας ἀμείβοντα, φόβῳ τοῦ ἐπικρατοῦντος χαλδαϊκοῦ χειμῶνος, πίνης τε καὶ δίψης πειραθῆναι, οὐκ ἄρτου καὶ ὕδατος, ἀλλὰ κατὰ τὸ εἰρημένον, τοῦ ἀκοῦσαι λόγον Κυρίου· διὰ τὸ μήτε δύνασθαι ὑμᾶς βάρος βιβλίων ἐπιφέρεσθαι, μήτε ἐν τοῖς τόποις, ἐν οἷς ἐπιδημεῖτε, εὑρίσκειν εὐχερῶς τὰ ἐπιζητούμενα, ἐκελεύσατε τῇ ἐμῇ βραχύτητι ἐν συντόμῳ πᾶσαν συστεῖλαι τὴν θείαν Γραφήν, Παλαιάν τε καὶ Καινήν, ὥστε μήτε ἄχθος ὑμῖν γενέσθαι βαστάγματος, μήτε πάλιν ἐλλειφθῆναί τι τῶν τεινόντων ἐπ᾿ ὠφέλειαν καὶ σωτηρίαν ψυχῆς, εἶξα προθύμως τῇ ὑμετέρᾳ κελεύσει, εὐθέως περιστήσας πάντα τὰ παρ᾿ ὑμῶν ἐκ τῆς θείας Γραφῆς ἐπιζητούμενα ... Ταῦτα ἔστειλα τῇ ὑμετέρᾳ θεοφιλίᾳ, ἅπερ δεχόμενος τῷ μὲν Θεῷ τὴν πρέπουσαν δοξολογίαν καὶ εὐχαριστίαν ἀνάπεμψον, τῷ τὴν δύναμιν αὐτοῦ ἐν ἀσθενείᾳ τελειοῦντι· ἡμᾶς δὲ ταῖς εὐπροσδέκτοις σου εὐχαῖς ἀνταμείβου, ὅπως κατὰ τὸ τῷ Θεῷ εὐάρεστον τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐκτελέσωμεν». Οὕτως ἔγραψε περὶ τοῦ ἑαυτοῦ συγγράμματος ὁ μακάριος Ἀντίοχος (¹).

Κατὰ τὴν ὑπόθεσιν τὸ σύγγραμμά ἐστιν ἠθικὸν καὶ τοσοῦτον πλούσιον, ὥστε περιλαμβάνει ἅπασαν σχεδὸν τὴν χριστιανικὴν πρακτικὴν διδασκαλίαν, καὶ ἀείποτε ἀπέλαυε σεβασμοῦ ἐν τῇ Ἐκκλησίᾳ.

§. 248. Σωφρόνιος ὁ Ἱεροσολύμων Πατριάρχης· α΄) ἐν τῷ βίῳ.

Διάδοχος τοῦ ἁγίου Μοδέστου ἐπὶ τοῦ θρόνου τῶν Ἱεροσολύμων ἐγένετο ὁ ἅγιος Σωφρόνιος, ὁ μέγας φωστὴρ οὐ μόνον τῆς Σιωνίτιδος, ἀλλ᾿ ἁπάσης καθόλου τῆς Ἀνατολικῆς Ἐκκλησίας (²).

Τὸ ἐπώνυμον τοῦ Σοφιστοῦ, ὅπερ ἐδίδοσαν τῷ Σωφρονίῳ, κοσμικῷ ὄντι, καὶ τὰ συγγράμματα αὐτοῦ δεικνῦσιν, ὅτι ὑπερφυῶς ἐπιστημῶν ἁπασῶν τὸ κράτος ἀνεδήσατο ἐν τῇ

(¹) Lambec. Comment III. 354.
(²) Ὁ βίος τοῦ ἁγίου Σωφρονίου in Act. Sanctor. ad XI Mart. T. II. p. 65. S.

πατρίδι αὐτοῦ Δαμασκῷ. Ἡ εὐσέβεια ἔζη ἐκ νέων ἐν τῇ ψυχῇ αὐτοῦ· χειραγωγὸς αὐτοῦ ἐν τῷ πνευματικῷ βίῳ ἐγένετο ὁ πεπαιδευμένος καὶ εὐσεβὴς μοναχὸς Ἰωάννης ὁ Μόσχος, ᾧ συνέζη ἐν τῇ Μονῇ τοῦ Θεοδοσίου, καὶ μεθ' οὗ πρὸς τελείαν γνῶσιν τοῦ πνευματικοῦ βίου περιῆλθε τὰς μονὰς τῆς Παλαιστίνης· ἔπειτα δέ, ὅτε οἱ Πέρσαι προσήγγισαν τῇ Ἀντιοχείᾳ, μετέβησαν οἱ εὐσεβεῖς ὁδοιπόροι εἰς Ἀλεξάνδρειαν, ὅθεν ἐπεσκέψαντο καὶ τοὺς ἀναχωρητὰς τῆς Θηβαΐδος (1). Ἐν Ἀλεξανδρείᾳ ἠσθένησεν ὁ Σωφρόνιος ἀμφοτέρους τοὺς ὀφθαλμούς· ἔσχε δὲ τὸ νόσημα οὐκ ἐπ' ὀλίγας μόνον ἡμέρας, ἀλλ' ἐτρύχετο ἐπί τινας μῆνας· οἱ ἄριστοι τῶν ἰατρῶν εἶπον ἐπὶ τέλους, ὅτι ἡ ἀσθένειά ἐστιν ἀνίατος. Τότε ὁ θεῖος Πατὴρ ἐστράφη πρὸς τοὺς ἁγίους Κῦρον καὶ Ἰωάννην, ὑφ' ὧν καὶ ἐθεραπεύθη. Εὐγνωμονῶν τοῖς ἁγίοις μάρτυσιν ἐπὶ τούτῳ, διέγραψε τὸ πνευματικὸν αὐτῶν μεγαλεῖον ἐν λόγῳ καὶ ἰδίᾳ περιέγραψεν ἑβδομήκοντα αὐτῶν θαύματα (2). Ἐν Ἀλεξανδρείᾳ ὅ τε Σωφρόνιος καὶ ὁ Ἰωάννης εἶδον λαμπρὸν πρότυπον τῶν ἀρετῶν ἐν τῷ βίῳ τοῦ Π. Ἰωάννου τοῦ Ἐλεήμονος, σύναμα δ' ἐγένοντο αὐτῷ ἄριστοι βοηθοὶ ἐν τῇ κυβερνήσει τῶν τῆς Ἐκκλησίας καὶ ἐν τῇ πρὸς τοὺς ἐκεῖ συναχθέντας Μονοφυσίτας πάλῃ (3). Ἐνταῦθα ἐδέξατο ὁ Σωφρόνιος καὶ τὸ μοναχικὸν ἀξίωμα. Ὅτε οἱ Πέρσαι ἐρημώσαντες τὴν Συρίαν, προσήγγισαν μετὰ πυρὸς καὶ σιδήρου τῇ Ἀλεξανδρείᾳ, ὁ Ἰωάννης καὶ ὁ Σωφρόνι-

(1) Λειμωνάρ. κεφ. 70. 95. 115-119. Φώτ. Βιβλιοθ. ἀνάγν. 198.

(2) Ἡ διήγησις τῶν θαυμάτων τῶν ἁγίων Κύρου καὶ Ἰωάννου παρὰ Μαΐῳ Spicil. Roman. T. III. «Ἔστι μὲν ὄνομα τῷ γεγραφότι Σωφρόνιος, πόλις Δαμασκὸς ἡ μητρόπολις, πατρὶς ἡ Φοινίκη, οὐχ ἡ παραλία, ἀλλ' ἡ Λιβάνου τοῦ ὄρους ἐπώνυμος, ἧς ἐστι Δαμασκὸς ἡ ἀρχαία μητρόπολις· τὸ δὲ Μοναστήριον, ὅπερ ὁ ἱερὸς Θεοδόσιος, ὁ πάντων τῶν παλαιστιναίων μοναστῶν τῶν τε πρὸ αὐτοῦ, τῶν τε μετ' αὐτόν, δι' ἀρετὴν ἡγησάμενος . . . Ἐν Ἀλεξανδρείᾳ οὖν γεγονὼς ὁ Σωφρόνιος δι' αἰτίαν, ἧς οὐκ ἀνάγκη μεμνῆσθαι τῷ γράμματι, τοὺς ὀφθαλμοὺς ἀμφοτέρους ἠσθένησε». σελ. 647-64. Ἐν δυσὶν ἄλλοις χωρίοις σελ. 629. 635 λέγεται σαφῶς, ὅτι τὸ θαῦμα ἐτελέσθη, Πατριάρχου Ἀλεξανδρείας ὄντος Ἰωάννου τοῦ Ἐλεήμονος.

(3) Λεόντ. ὁ Κύπρ. ἐν βίῳ Ἰωάννου τοῦ Ἐλεήμονος.

ος κατέλιπον ταύτην τὴν πόλιν καὶ ἐπισκέψαντο τὴν Κύπρον, τὸ Αἰγαῖον, τὴν Κωνσταντινούπολιν καὶ τὴν Ρώμην. Ἐν τῇ τελευταίᾳ πόλει ἐτελεύτησε (τῷ 622) ὁ Ἰωάννης, ὁ δὲ Σωφρόνιος ἐπανῆλθεν εἰς τὴν Λαύραν τοῦ ὁσίου Θεοδοσίου, ἵνα καταθῇ ἐκεῖ μετὰ τιμῆς τὰ λείψανα τοῦ ἑαυτοῦ διδασκάλου (¹). Αἱ συμφοραὶ τῆς Παλαιστίνης ἠνάγκασαν αὐτὸν ἐκλέξασθαι ὡς τόπον τῆς διατριβῆς αὐτοῦ τὴν Ἀλεξάνδρειαν. Ἐνταῦθα ὁρῶμεν αὐτόν, ὅτε ἀπεκαλύφθη ἡ αἵρεσις, τῶν Μονοθελητῶν. Ὁ Π. Ἀλεξανδρείας Κῦρος ἔδωκε, τῷ Σωφρονίῳ ἀναγνῶναι τὴν ἔκθεσιν τῆς ἑαυτοῦ πίστεως, ᾗ ἐνόμιζεν, ὅτι ἠδύνατο ἑλκῦσαι εἰς τὴν Ἐκκλησίαν αὐτοῦ τοὺς Μονοφυσίτας. Ὁ Σωφρόνιος ἀναγνοὺς αὐτήν, παρεκάλεσε μετὰ δακρύων τὸν Κῦρον μὴ κηρύξαι ἐν τῇ Ἐκκλησίᾳ νέαν ὁμολογίαν πίστεως· συνεκροτήθη Σύνοδος (τῷ 633)· οἱ Μονοφυσῖται ἡνώθησαν προθύμως τῷ Κύρῳ, διότι αἱ δοξασίαι αὐτοῦ ἦσαν δοξασίαι αὐτῶν, οὐχὶ δὲ τῆς ὀρθοδόξου Ἐκκλησίας (²). Ὁ Σωφρόνιος ἀφικόμενος εἰς Κωνσταντινούπολιν, προὔτρεψε τὸν Π. Σέργιον· ἐξηγήσασθαι τῷ Κύρῳ τὸ στασιαστικὸν καὶ ἀσεβὲς τῶν δοξασιῶν αὐτοῦ· ἀλλ᾽ ὁ ἀσθενὴς τὸν χαρακτῆρα Σέργιος ἐταλαντεύετο καὶ ἐπέστειλε τῷ Π. Ὀνωρίῳ, πολλῷ ἧττον σταθερῷ ὄντι ἐν τῇ Εὐαγγελικῇ ἀληθείᾳ. Οἱ Μονοφυσῖται ἐθριάμβευον. «Οὐχ ἡμεῖς», ἔλεγον, «ὑποτασσόμεθα τῇ ἐν Χαλκηδόνι Συνόδῳ, ἀλλ᾽ αὕτη ἐκοινώνησεν ἡμῖν». Ὁ μέγας Ἀρχιποίμην ἀνεβίβασεν ἐν τῇ ἀρχῇ τοῦ 634 ἐπὶ τὸν πατριαρχικὸν θρόνον τῆς Ἱερουσαλὴμ τὸν Σωφρόνιον, ὅς, παραυτίκα συγκροτήσας Σύνοδον, ἀνέγνω ἐν αὐτῇ τὴν ὁμολογίαν τῆς ἑαυτοῦ πίστεως, ᾗ κατέδειξε τὰς πλάνας τῶν Μονοφυσιτῶν. Ἑπόμενος τῷ ἀπὸ πολλοῦ παραδεδεγμένῳ ἔθει ἀναγγέλλειν δηλαδὴ τοῖς ἄλλοις Ἐπισκόποις τὸ ὀρθὸν τῆς ἰδίας πίστεως, ἀπέστειλε μετὰ τῶν Πρακτικῶν τῆς Συνόδου τὴν ὁμολογίαν αὐτοῦ πρὸς τοὺς ἄλλους Πατριάρχας (³). Ἐκ τούτου ἀνεστάλησαν μὲν αἱ πρόοδοι τῆς αἱρέσεως,

---

(¹) Ἡ ἑλλην. βιογρ. τοῦ Μόσχου παρὰ Ροσβεΐδῳ Vit. Patr.

(²) Conciliabulum Alexandrinum in XIII act. Sextæ Synodi.

(³) Συνοδικόν, περιέχον ἐν ἐπιτομῇ ἁπάσας τὰς ἀπὸ τῶν ἁγίων Ἀποστόλων γεγονυίας ὀρθοδ. καὶ αἱρετ. συν. κεφ. 124. «Σωφρόνιος δὲ ὁ μελίγλωσσος τῆς ἀληθείας πρόμαχος, Ἀρχιερεὺς Ἱεροσολύμων γενόμενος, θείαν καὶ ἱερὰν σύνοδον ποιησάμενος, δύο θελήσεις καὶ ἐνεργείας τρανώσας,

ἀλλ᾽ οὔπω ἔλαβον πέρας, καὶ τῷ Σωφρονίῳ ἐπῆλθε νέα θλίψις. Τῷ 636 ἐπολιόρκησε τὴν Ἱερουσαλὴμ ὁ Ὀμάρ, ὁ Σωφρόνιος ἐνεψύχου τοὺς πολιορκουμένους τῇ ἐπὶ Θεὸν ἐλπίδι, οὐ παυόμενος σύναμα ἐνεργεῖν καὶ ὑπὲρ τῆς ὀρθοδοξίας. Ὁ Σωφρόνιος ἤγαγε τὸν ἐπίσκοπον Δήρας Στέφανον εἰς τὸν Γολγοθᾶν, ἔνθα ὅρκους παρ᾽ αὐτοῦ ἔλαβεν αἰτήσασθαι ἐν τῇ Δύσει συνδρομὴν τῇ ὀρθοδοξίᾳ· ὁ Στέφανος διέτριψεν ἐν Ῥώμῃ δέκα ἔτη οὐκ ἄνευ ὠφελείας ([1]). Ἐν τούτοις ὁ Ὀμεϊάδης μετὰ διετῆ πολιορκίαν ἦν ἐγγὺς τοῦ καταστῆναι κύριος τῆς Ἱερουσαλὴμ καὶ καταστρέψαι αὐτήν· ὁ Πατριάρχης ἀφικόμενος εἰς τὸ στρατόπεδον αὐτοῦ, ἐδήλωσεν, ὅτι ἡ πόλις παραδοθήσεται μόνον ἐπὶ ὅροις καὶ οὐδενὶ ἄλλῳ ἢ τῷ Καλίφῃ Ὀμάρ. Ὁ Ὀμὰρ ἀφίκετο ἐκ Μέκκας, ἀπεδέξατο τοὺς ὅρους τοῦ Σωφρονίου, καί, εἰσελθὼν εἰς τὴν πόλιν, διελέχθη εὐμενῶς πρὸς τὸν Πατριάρχην περὶ τῶν ἀρχαιοτήτων αὐτῆς ([2]). Ὁ μέγας ἱεράρχης ἐξεδήμησε πρὸς Κύριον τῷ 641ῳ σωτηρίῳ ἔτει ([3]).

§. 249. ϐ'.) Ἐν τοῖς συγγράμμασι.

Τῶν νῦν γνωστῶν συγγραμμάτων τοῦ ἁγίου Σωφρονίου τὰ μὲν περιέχουσι δογματικὴν διδασκαλίαν, τὰ δ᾽ ἐγράφησαν πρὸς οἰκοδομὴν ἐν τῇ εὐσεβείᾳ, τὸ μὲν ἐν εἴδει λόγων καὶ διηγήσεων, τὸ δὲ ἐν εἴδει ᾀσμάτων.

Διὰ τῆς πρὸς Σέργιον τὸν Κωνσταντινουπόλεως Πατριάρχην συνοδικῆς αὐτοῦ ἐπιστολῆς ([4]) κατήνεγκεν ὁ θεῖος Πατὴρ δεινὸν τραῦμα

ἀπέστειλεν Ὀνωρίῳ τῷ Πάπᾳ Ῥώμης, καὶ Σεργίῳ Κωνσταντινουπόλεως τὰ συνοδικὰ αὐτοῦ». ap. Fabric. T. XI. p. 241. Θεοφάν. χειρογρ. 274.

([1]) Τῆς πολιορκίας τῆς Ἱερουσαλὴμ ποιεῖται μνείαν ὁ ἅγ. Σωφρόνιος ἐν τῷ εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ λόγῳ αὐτοῦ. Lequien. Or. Christ. III. 266.

([2]) Θεοφάν. χρονογρ. σελ. 272.

([3]) Lequien. Or. Christ. III. 263. 281. Ἡ μνήμη τοῦ ἁγίου Σωφρονίου τῇ ΙΑ. Μαρτίου.

([4]) Ἡ ἐπιστολὴ αὕτη ἐξεδ. ἐν τοῖς Πρακτ. τῆς ϛ' Οἰκουμ. Συνόδου ὑπὸ Βινίου, Τόμ. Γ'. σελ. 158-185, ὑπὸ Λαββέου Τόμ. Ζ'. σελ. 887. Μέρος αὐτῆς ἐξεδ. in Fabricii B. Gr. T. VIII. p. 354-358.

τῷ μονοθελητισμῷ. Ἡ θαυμαστὴ αὕτη ἐπιστολὴ ἀνεγνώσθη καὶ ἐκυρώθη ἐν τῇ ς´ Οἰκουμενικῇ Συνόδῳ ὡς σύμφωνος τῇ διδασκαλίᾳ τῶν Ἀποστόλων καὶ τῶν Διδασκάλων τῆς Ἐκκλησίας (1). Ἐν αὐτῇ προτίθησι συνῳδὰ τῷ σκοπῷ αὐτοῦ: α´] τὴν ὁμολογίαν αὐτοῦ περὶ τῆς ἁγίας Τριάδος. Ἐνταῦθα λέγει πρὸς τοῖς ἄλλοις: «Πιστεύω καὶ εἰς ἓν Πνεῦμα ἅγιον, τὸ ἐκ Θεοῦ Πατρὸς ἐκπορευόμενον, τὸ φῶς καὶ Θεὸν καὶ Αὐτὸ γνωριζόμενον». β´] Ἐκτίθησι τὸ δόγμα περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου καὶ δείκνυσιν ἐν τῷ Ἰησοῦ Χριστῷ τὸ ἑνιαῖον τῆς ὑποστάσεως κατὰ τοῦ Νεστορίου καὶ τὴν διαφορὰν τῶν φύσεων κατὰ τοῦ Εὐτυχοῦς· γ´] ἰδίᾳ προσάπτει τὸν ἔλεγχον τοῦ εὐτυχιανισμοῦ τῷ μονοθελητισμῷ καὶ δείκνυσιν ἐν τῷ Ἰησοῦ Χριστῷ δύο εἴδη ἐνεργειῶν—θείαν καὶ ἀνθρωπίνην: «Ὅθεν ὁ αὐτός, λέγει, μένων εἷς Χριστὸς καὶ Υἱὸς καὶ Μονογενὴς ἀδιάτμητος ἐν ἑκατέραις ὁρᾶται ταῖς φύσεσι, καὶ τὰς ἑκατέρας φυσικῶς οὐσίας εἰργάζετο κατὰ τὴν ἑκατέρᾳ προσοῦσαν οὐσιώδη ποιότητα, ἢ καὶ φυσικὴν ἰδιότητα. Ὅπερ, εἰ τὴν φύσιν ἔσχε μοναδικήν τε καὶ ἀσύζυγον, καθὰ καὶ τὴν ὑπόστασίν τε καὶ τὸ πρόσωπον, οὐκ ἂν διεπράξατο καὶ οὐκ ἂν ὁ εἷς καὶ ὁ αὐτὸς τὰ τῆς ἑκατέρας ἐντελῶς κατειργάζετο φύσεως. Πότε γὰρ θεότης ἀμέτοχος σώματος ἔργα φυσικῶς κατειργάσατο σώματος; ἢ πότε σῶμα χηρεῦον θεότητος πράξεις ἐνήργησεν οὐσιωδῶς γνωριζομένας θεότητος; Ὁ δὲ Ἐμμανουὴλ εἷς ὢν καὶ ἐν ταὐτῷ τὰ ἑκάτερα, τουτέστι Θεός τε καὶ ἄνθρωπος, τὰ ἑκατέρας ἔδρα κατὰ ἀλήθειαν φύσεως, κατ᾽ ἄλλο καὶ ἄλλο ἐνεργῶν τὰ πραττόμενα. Καθὸ μὲν Θεὸς ὁ αὐτὸς τὰ θεῖα, καθὸ δὲ ἄνθρωπος ὁ αὐτὸς τὰ ἀνθρώπινα. Ἑαυτὸν τοῖς πᾶσι δεῖξαι βουλόμενος, ὡς Θεὸς ὁ αὐτὸς εἴη καὶ ἄνθρωπος. Καὶ διὰ τοῦτο ὁ αὐτὸς τά τε θεῖα ποιεῖ καὶ ἀνθρώπινα, ὁμοίως καὶ λέγει καὶ φθέγγεται. Καὶ οὐκ ἄλλος μὲν τὰ θαύματα πέπραχεν, ἄλλος δὲ τὰ ἀνθρώπινα τέτευχε, καὶ παθήματα πέπονθεν, ὡς Νεστόριος βούλεται. Ἀλλ᾽ εἷς μὲν καὶ ὁ αὐτὸς Χριστὸς καὶ Υἱὸς ὁ τὰ θεῖα δεδρακὼς καὶ ἀνθρώπινα, κατ᾽ ἄλλο δὲ καὶ ἄλλο, ὡς ὁ θεῖος ἐπρέσβευσε Κύριλλος. Ἐπειδὴ καὶ ἐν ἀμφοτέροις ἔσχε τὴν ἐξουσίαν ἀσύγχυτον,

(1) Πρ. ια´.

οὐ μὴν ἀλλὰ καὶ ἀμέριστον. Καθὸ μὲν γὰρ Θεὸς ὁ αὐτὸς ὑπῆρχεν ἀΐδιος, ἔδρα τὰ θαύματα· καθὸ δὲ ἄνθρωπος ὁ αὐτὸς ἐγνωρίζετο πρόσφατος, ἐποίει τὰ ταπεινὰ καὶ ἀνθρώπινα. Ὥσπερ γὰρ ἐν Χριστῷ ἑκατέρα φυλάττει φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα, οὕτω καὶ ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, τοῦθ᾿ ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν Λόγου κατεργαζομένου, τοῦθ᾿ ὅπερ ἐστὶ τοῦ Λόγου μετὰ τῆς κοινωνίας δηλονότι τοῦ σώματος· τοῦ δὲ σώματος ἐκτελοῦντος ὅπερ ἐστὶ τοῦ σώματος, κοινωνοῦντος αὐτῷ δηλ. τοῦ Λόγου τῆς πράξεως· καὶ ταῦτα ἐν ὑποστάσει μιᾷ γνωριζόμενα, καὶ τὴν βδελυρωτάτην τομὴν διωθούμενα. Οὔτε γὰρ διῃρημένως ἐνήργουν τὰ ἴδια, ἵνα καὶ μερισμὸν αὐτῶν ὑποπτεύσωμεν . . . . κατὰ μὲν τὴν θείαν Αὐτοῦ φύσιν, καθ᾿ ἣν ἦν καὶ τῷ Πατρὶ ὁμοούσιος, τὴν θεϊκὴν καὶ ἀνέκφραστον· κατὰ δὲ τὴν ἀνθρωπίνην, καθ᾿ ἣν καὶ τοῖς ἀνθρώποις ἡμῖν ὁ αὐτὸς ὁμοούσιος ἔμεινε, τὴν ἀνθρωπίνην καὶ πρόσγειον . . .» Ἔπειτα ἀπαριθμεῖ διακεχωρισμένως τὰ ἔργα τῆς ἀνθρωπίνης καὶ θείας ἐνεργείας (α).

Ἐν τῷ λόγῳ εἰς τὴν Βάπτισιν τοῦ Κυρίου, ὁ ἱερὸς Πατὴρ διαγράφων τὴν φανέρωσιν τῆς ἁγίας Τριάδος ἐν Ἰορδάνῃ, ἀναπτύσσει ἰδίᾳ τὴν ἀλήθειαν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ὢν ὁμοούσιος τῷ Θεῷ Πατρὶ ὡς Υἱὸς τοῦ Θεοῦ, ἐστὶν ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, καὶ ὅτι ἐν Αὐτῷ ἐφανερώθησαν αἱ ἐνέργειαι τῆς θείας θελήσεως, συμφωνούσης τῇ θελήσει τοῦ Πατρός, καὶ αἱ ἐνέργειαι τῆς ἀνθρωπίνης θελήσεως, ὡς οὐσιώδεις τῇ ἀνθρωπίνῃ Αὐτοῦ φύσει. Θαυμαστὸν καὶ ἀκατάληπτον, λέγει ἐν τῷ ἐπιλόγῳ, τίνος ἕνεκεν, ἀποδεχόμενοι δύο φύσεις ἐν τῷ προσώπῳ τοῦ Θεοῦ Λόγου, ἀπορρίπτουσι τὴν περὶ τῶν δύο ἐνεργειῶν καὶ θελήσεων διδασκαλίαν, καὶ οὐ κατανοοῦσιν, ὅτι ἀντιφάσκουσιν ἑαυτοῖς ([1]).

(α) « Ἡ ἐπιστολὴ αὕτη, λέγει ὁ μέγας Φώτιος, πολλαχοῦ τοῖς ῥήμασιν ἐννεωτερίζει, καθάπερ τις πῶλος ἐπιγαυρούμενος τοῖς σκιρτήμασι· πλὴν τὴν ὀρθόδοξον ὡς μάλιστα γνώμην ἐξακριβοῖ» (Ἀνάγν. σλά.). Σ. Μ.

([1]) Ἐξεδόθη ὑπὸ Κομβεφισίου in Bibl. Cont. T. I. p. 672-677. Δογματικὸν ἔτι σύγγραμμά ἐστιν ἡ Ἀπολογία ὑπὲρ τοῦ ἁγίου Βασιλείου τοῦ Μ. ὡς πρὸς τὰς λέξεις φύσις καὶ οὐσία, περὶ ἧς ποιεῖται λόγον ὁ Π. Φώτιος (ἀνάγν. ε΄.)· καὶ ἧς μέρος ἐξεδόθη ὑπὸ Μαΐου in Script.

Τὴν ἠθικὴν διδασκαλίαν ἐξέθηκεν ὁ Θεῖος Πατὴρ ἐν τοῖς λόγοις: εἰς τὸν Σταυρόν (1), εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ (2), εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου (3), εἰς τὸν Εὐαγγελισμόν (4), εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον (5), εἰς Ἰωάννην τὸν Θεολόγον (6), εἰς τὴν ἑορτὴν τῶν Ἀρχαγγέλων Γαβριὴλ καὶ Μιχαὴλ (7), εἰς τοὺς ἁγίους μβ′ μάρτυρας τοὺς ἐξ Ἀμορίου (τῆς Γαλατίας) (8), εἰς τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον (9), καὶ ἐν τῷ περὶ παρθενίας συγγράμματι(*). Ἐν τῷ εἰς τὸν Σταυρὸν δευτέρῳ λόγῳ ὁμιλεῖ περὶ τῆς νηστείας καὶ τοῦ Σταυροῦ, ὡς σωτηρίων φαρμάκων κατὰ τῶν ἠθικῶν ἡμῶν ἀσθενειῶν. Ἐνταῦθα λέγει

Vet. Collect. T. VII. p. 22. Ὡς πρὸς τὴν περὶ Ἐνανθρωπήσεως πραγματείαν, τὴν ἐν χειρογράφοις ἀπαντῶσαν καὶ φέρουσαν τὸ ὄνομα τοῦ ἁγ. Σωφρονίου ῥητέον, ὅτι ἐστὶ μέρος τῆς συνοδικῆς αὐτοῦ ἐπιστολῆς.

(1) Δύο λόγοι ἐκδοθ. ἑλλην. καὶ λατιν. ὑπὸ Γρετσέρου de Cruce. T. II. 88. 283, καὶ μόνον λατιν. in B. P. Lugd. T. XII. 808-814.

(2) Ἐξεδ. λατιν. in B. P. Lugd. T. XII. 206-8.

(3) Ἐξεδ. ἑλλην. καὶ λατιν. in Act. SS. ap. Bolland. T. I. p. 274-279 ad Febr.

(4) Ἐν χειρογρ. παρὰ Λαμπεσ. Comm. VIII. 818, παρὰ Μοντφακωνίῳ B. Coisl. p. 389.

(5) Ἐξεδ. ὑπὸ Maii in Spicil. Rom. T. IV. p. 29-40.

(6) Ἐξεδ. ὑπὸ Γαλλανδίου in B. P. T. III. p. 252. Τοῦ ἐγκωμίου τούτου ποιεῖται μνείαν Ἱππόλυτος ὁ Θηβῶν ἐν τῷ χρον. αὐτοῦ «Ἐγκωμιάζων δὲ τὸν Εὐαγγελιστὴν Ἰωάννην ὁ ἁγιώτατος Πατριάρχης Ἱεροσολύμων, ὁ μέγας Σωφρόνιος, διδάσκει τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, ὅτι πατὴρ τοῦ Θεολόγου Ζεβεδαῖος ἦν, Σαλώμη δὲ ἡ μήτηρ αὐτοῦ, κ. τ. λ.».

(7) Ἐξεδ. λατιν. in Act. SS. T. XII. 209. Τὸ ἑλλην. κείμ. ἐν χειρογρ. τῆς Βαυαρίας. Ὁ Μάϊος ἐξέδωκε τοῦ ἁγ. Σωφρ. βραχὺ ἐγκώμιον εἰς τὴν Παρθενίαν, ὅπερ ἐστὶν ἴσως τεμάχ. λόγου. Spicil. Rom. T. IV.

(8) Ἐξεδ. λατιν. in Combefic B. Com. Τὸ ἑλλην κείμεν. ἐν τοῖς χειρογρ. τῆς παρισ. Βιβλ. N. 1447.

(9) Ἐξεδ. λατιν. in Combef. B. P. T. XII. 206-214.

(*) Μέρος αὐτοῦ ἐξεδ. ὑπὸ Μαΐου in Spicil. Rom. IV. 170. Ὑπὸ τοῦ αὐτοῦ ἐξεδ. καὶ τὸ σύγγραμμα περὶ ἐξαγγελιῶν. Spicil. Rom. T. III.

ὡσαύτως «. . . φέρε προθῶμεν ἐν μέσῳ τὸ ἐν μέσῳ τῆς νηστείας προτεθὲν ἡμῖν ζωοποιὸν ξύλον τοῦ τιμίου Σταυροῦ, καὶ ἐν μέσῳ τῆς γῆς προσπαγὲν εἰς σωτηρίαν ἡμῶν». Ἐν τῷ εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου λόγῳ, μετὰ τὴν ἀπαρίθμησιν τῶν τόπων τῶν καταστάντων περιβλέπτων τοῖς γεγονόσιν διὰ τοῦ βίου τοῦ Σωτῆρος, περιγράφει τὴν Ὑπαπαντὴν τοῦ Παιδίου Ἰησοῦ ἐν τῷ ναῷ, καὶ ἐκτίθησι τὰς ἀρετάς, δι᾿ ὧν ὀφείλουσι κοσμεῖσθαι οἱ ὑπαντῶντες τῷ Κυρίῳ. Ἐν τῷ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον ἐγκωμίῳ ἀφηγεῖται εὐγλώττως τὸν βίον, τὴν διδασκαλίαν καὶ τὰς πράξεις αὐτοῦ, καὶ ἐν τῷ τέλει λέγει : «Ἐγὼ δέ σοι πρόθεσιν ἔχων τῷ λόγῳ συνέπεσθαι, εἴργομαι καὶ καρτερῶς κωλύομαι· τοῦτο μὲν δι᾿ ἀνθρωπίνην ἀσθένειαν (σοὶ γὰρ λέγειν τἀληθὲς οὐκ αἰσχύνομαι, ταύτην εἰδότι καὶ πρὸ τῆς ἡμῶν ἀγορεύσεως)· τοῦτο δέ, ὅτι περ ὁ τῆς ἱερᾶς λειτουργίας καιρός, ὡς ὁρᾷς, παραγέγονεν . . . . » Ὁ λόγος τοίνυν ἐξεφωνήθη ἐν τῇ ἀρχῇ τῆς λειτουργίας, ὡς ἐξεφώνει τὰς ἑαυτοῦ ὁμιλίας ὁ θεῖος Χρυσόστομος.

Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἀπεφαίνετο μετ᾿ ἐπαίνων, περὶ τοῦ ὑπὸ τοῦ ἁγίου Σωφρονίου συγγραφέντος βίου τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας (¹) τοῦ καὶ ἐν τῇ Ζ´ Οἰκουμεν. Συνόδῳ ἀναγνωσθέντος (²). Καὶ ἡ ὑπόθεσις αὐτὴ καθ᾿ ἑαυτήν ἐστι τὰ μέγιστα πρὸς ἀρετὴν προτρεπτική, καὶ ἡ περιγραφή ἐστιν ἀξία τῆς ὑποθέσεως. Ὁ βίος τῆς ἰσαγγέλου Μαρίας ἐστὶ πάνυ ἄξιος τῆς αὐτῷ ὑπὸ τῆς Ἐκκλησίας ἀπονεμηθείσης τιμῆς, δηλ. τοῦ ἀναγινώσκεσθαι ἐπ᾿ Ἐκκλησίας κατὰ τὴν μεγάλην Τεσσαρακοστὴν (³).

Πολλῶν ἕνεκα σπουδαῖά εἰσι τὰ συγγράμματα αὐτοῦ : Βίος καὶ πολιτεία καὶ μαρτύριον καὶ μερικὴ τῶν θαυμάτων διήγησις τῶν ἁγίων ἐνδόξων Ἀναργύρων Κύρου καὶ Ἰωάννου (⁴) καὶ ἡ Διήγησις θαυμάτων τῶν ἁγίων Κύρου καὶ Ἰωάννου τῶν σοφῶν Ἀναργύρων (⁵). Ἐν τῇ

(¹) Ἐν τῷ Γ´ λόγ. περὶ τῶν εἰκόν. σελ. 388.
(²) Πρ. Δ´.
(³) Ἐξεδ. ἑλλην. καὶ λατιν. in Act. SS. ad 2 April. p. 69. 74.
(⁴) Ἐξέδ. ὑπὸ Μαΐου in Spicil. Rom. T. IV. 230-242.
(⁵) Ἐξεδ. ὑπὸ Μαΐου in Spicil. Rom. T. III. p. 1-670.

περιγραφῇ τῶν θαυμάτων (1) ἀναγινώσκομεν πρὸς τοῖς ἄλλοις περὶ τοῦ ὑποδιακόνου Ἰωάννου τάδε: Ἐπὶ τῆς στρωμνῆς ὁ Ἰωάννης ἐκάθευδε, καὶ καθεύδων ἑαυτὸν ἑστῶτα πρὸ τοῦ τῶν ἁγίων ἔβλεπε μνήματος καὶ περὶ τῆς τῶν ὀμμάτων ἐδέετο ῥώσεως· καὶ τοῦτο ποιῶν τοὺς ἁγίους ἐδόκει θεάσασθαι ἔμπροσθεν τῆς οἰκίας σοροῦ ἐν πρεσβυτέρων καθημένους μορφαῖς τε καὶ σχήμασιν· οἵ, τῶν θρόνων ἀναστάντες καὶ τῆς χειρὸς τοῦ Ἰωάννου λαβόμενοι, ἐπὶ τὸ θεῖον θυσιαστήριον ἤγαγον· καὶ τούτῳ αὐτὸν παραστήσαντες ἄρτον αὐτῷ προσένεμον ἅγιον ζωοποιὸν Χριστοῦ σῶμα γενόμενον· καὶ μετὰ τὴν τούτου μετάληψιν ἀπὸ τῆς μυστικῆς πάλιν τραπέζης λαβόντες ποτήριον θείου πεπληρωμένον ἐπότιζον γάλακτος· ᾧ τάχα καὶ Παῦλος ὁ Ἀπόστολος ποτίζειν τοὺς ἐν Χριστῷ νηπιάζοντας ἔγραφε» (2). Περὶ τῆς θεραπείας τοῦ παραλυτικοῦ Πέτρου τοῦ μονοφυσίτου διηγεῖται, ὅτι, ἰδόντες αὐτὸν οἱ Μάρτυρες πρὸς τὴν ῥῶσιν φλεγόμενον, εἶπον αὐτῷ: «εἰ βούλει ἀπαλλαγῆναι τῆς ἀσθενείας, ἀναστὰς εἴσελθε εἰς τὸν πολύτιμον Ἰορδάνην (τῷ γὰρ ὀνόματι τούτῳ οἱ Ἀλεξανδρινοὶ καλοῦσιν τὴν κολυμβήθραν τοῦ ἱεροῦ βαπτίσματος, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς κάθαρσιν ἡμῶν βαπτισθέντος ἐν τῷ Ἰορδάνῃ ποταμῷ), καὶ πλύνας ἐκεῖ τὰς χεῖρας, δέξαι ἐκεῖ τὰ μυστήρια τοῦ Χριστοῦ, δεικνύντες τῷ σχήματι τῶν χειρῶν τοῦ Σώματος τοῦ Χριστοῦ καὶ τοῦ Αἵματος τὴν ζωοποιὸν καὶ μακαρίαν λῆψιν» (3). Σημειωτέον τέλος, ὅτι ἐκ τῆς περιγραφῆς ταύτης τῶν θαυμάτων τῶν ἁγίων Μαρτύρων Κύρου καὶ Ἰωάννου ἀνεγνώσθησαν χωρία τινὰ ἐν τῇ Ζ' Οἰκουμενικῇ Συνόδῳ (4).

Πολύτιμόν ἐστι τὸ Λειτουργικὸν Ὑπόμνημα τοῦ θείου Πατρός. Οὐχ ἧττον ἄξιον λόγου ἐστὶ καὶ τὸ Τριῴδιον αὐτοῦ, οὗ πρὸ πολλοῦ μὲν ἐκδοθέν, πρὸ πολλοῦ δὲ μὴ ὂν ἐν ἐκκλησιαστικῇ χρήσει. Τὸ βατικάνειον Τριῴδιον ἀνήκει εἰς τὸν ιγ' αἰῶνα, καὶ περιέχει, πλὴν τῶν ᾠδῶν τοῦ Σωφρονίου, ᾠδὰς τῶν ἁγίων Δαμασκηνοῦ, Ἰωσὴφ καὶ Θεοδώρου τῶν Στουδιτῶν, Ἀντωνίου καὶ Κλήμεντος, Στου-

(1) Ap. Maium p. 660-662.

(2) Ap. Maium p. 413.

(3) Αὐτ. σελ. 437. [Τὸ τεμάχιον τοῦτο σώζεται μόνον ἐν τῇ λατιν. μεταφράσει. Σ. Μ.].

(4) Πρακτ. Συν. ed Binii T. III. p. 561. ed. Florent. T. XIII. p. 57.

διτῶν ἐπ' ἴσης, καὶ τοῦ Αὐτοκράτορος Λέοντος· οὐχ ὑπάρχουσι δ' ἐν αὐτῷ ᾠδαὶ Θεοφάνους τοῦ Γραπτοῦ. Ἐκ τοῦ τοιούτου περιεχομένου τοῦ Τριῳδίου τούτου πιθανόν, ὅτι ἡ πρώτη αὐτοῦ σύνθεσις ἀνήκει εἰς τὸ τέλος τοῦ θ' αἰῶνος, ὅτε αἱ ᾠδαὶ τῶν Στουδιτῶν οὔπω ἀντικατέστησαν τὰς τοῦ Σωφρονίου καὶ τοῦ Θεοφάνους οὐκ ἦσαν ἐν κοινῇ χρήσει, καίπερ τῶν τοῦ Αὐτοκράτορος Λέοντος τοῦ Σοφοῦ τιμηθεισῶν τῇ ἐκκλησιαστικῇ χρήσει. Τὸ Τριῴδιον τοῦ ἁγ. Σωφρονίου ἄρχεται ἀπὸ τῆς Μ. Τεσσαρακοστῆς καὶ λήγει εἰς τὴν ἑορτὴν τῆς Ἀναλήψεως τοῦ Κυρίου. Αἱ εἰς τὴν Τεσσαρακοστὴν ᾠδαὶ αὐτοῦ ἀποπνέουσι βαθεῖαν κατάνυξιν καὶ καταλείπουσιν ἐν τῇ ψυχῇ ἡδεῖαν συγκίνησιν. Αἱ εἰς τὰς ἑορτὰς ᾠδαί εἰσι ὡς μάλιστα ἄξιαι τῶν ὑποθέσεων αὐτῶν (1).

Πρὸς ἐκκλησιαστικὴν χρῆσιν ἔγραψεν ἐπ' ἴσης ὁ ἅγιος Σωφρόνιος: Τροπάρια ψαλλόμενα τῇ παραμονῇ τῆς Χριστοῦ Γεννήσεως εἰς τὰς ὥρας (2), Διάταξιν τῶν ὡρῶν τῆς Μ. Παρασκευῆς μετὰ στιχηρῶν, οὐκ ἐν πᾶσιν ὁμοίαν τῇ νῦν (3), καὶ Στιχηρὰ εἰς τὸν ἁγιασμόν.

(1) Τὸ Τριῴδιον ἐξεδ. ὑπὸ Μαΐου in Spicil. Rom. T. IV. p. 125-225 Bl. Præf. p. 1. 2.

(2) Ἐν χειρογρ. τῆς βιεν. Βιβλιοθ. Cod. theolog. 303. §. 75. «Τροπάρια ψαλλόμενα τῇ Παραμονῇ τῆς Χριστοῦ Γεννήσεως εἰς τὰς ὥρας, Ποίημα Σωφρονίου Ἱεροσολύμων». Ἕπονται τὰ Τροπάρια καὶ τὰ Ἀναγνώσματα, καθάπερ ἀναγινώσκονται ἐν τῇ νῦν Ἀκολουθίᾳ, πλὴν τῶν Ἀναγνωσμάτων ἐκ τοῦ Ἀποστόλου εἰς τὴν γ' καὶ ς' ὥραν.

(3) Ἐν τῷ αὐτῷ Βιεν. χειρ. C. 303. S. 223: Σὺν Θεῷ σύνταξις τῶν ὡρῶν τῆς Μεγάλης Παρασκευῆς, ποίημα Σωφρονίου Ἀρχιεπισκόπου Ἱεροσολύμων. Ἐνταῦθα ἐν τῇ ά ὥρᾳ ὁρίζονται οἱ ψαλ. ε', μ', να'. ἐν δὲ τῇ νῦν Ἀκολουθίᾳ, οἱ έ, β', καὶ κά. Μετὰ τὰ Τροπάρια, τὰ καὶ ἐν τῇ νῦν Ἀκολουθίᾳ, τίθενται τά: α) Σὲ διὰ φθόνον παραδοθέντα εἰς χεῖρας ἁμαρτωλῶν ἐκλονεῖτο ἡ κτίσις...» β) «Παῦσαι ὀδυνηρῶς, Μῆτερ Ἐμοῦ, θεωροῦσά με ἐν ξύλῳ προσηλωμένον....» Τὰ τροπάρια ταῦτα οὐχ ὑπάρχουσιν ἐν τῇ νῦν Ἀκολουθίᾳ. Εἰς τὴν ς' ὥραν ἐν τῷ χειρογρ. οἱ ψαλμοὶ λε', ξη', ϟ' καὶ μετὰ τὰ νῦν τροπάριά εἰσι τεθειμένα ἔτι τά: α) «Τὸν Ζωοποιὸν Σταυρὸν τῆς Σῆς ἀγαθότητος κτλ.» β) «Τοῦ στρατεύματος παρισταμένου, κτλ.» Εἰς τὴν θ' ὥραν οἱ ψαλ. λδ', μη', πζ'. Τὰ ἐκ τῶν Διαθηκῶν Ἀναγνώσμ. εἰσιν

σμὸν τῶν ὑδάτων κατὰ τὴν ἑορτὴν τῶν Θεοφανείων μετ᾽ Εὐχῆς (1).

Γνωστὸν τέλος, ὅτι ὁ ἅγιος Σωφρόνιος ἱερομόναχος ἔτι ὤν, ἐπεθεώρησε καὶ διεκόσμησε τὸ ἱεροσολυμιτικὸν Τυπικὸν τοῦ ἁγίου Σάββα. Τοῦτο ἐγένετο μετὰ τὸ καταστραφῆναι ὑπὸ τῆς κατὰ τῆς Ἱερουσαλὴμ ἐπιδρομῆς τῶν Περσῶν τοὺς ναοὺς τῆς Παλαιστίνης καὶ τὸ ἐκ τούτου τὰ πάντα ἐν ἀταξίᾳ καταστῆναι (2).

Οἱ νεώτατοι τῶν κριτικῶν ἀποφαίνονται μετὰ μεγίστων ἐπαίνων περὶ τῶν ποιητικῶν ἔργων τοῦ ἁγίου Σωφρονίου—περὶ τῶν ἀνακρεοντείων (3) καὶ τῶν ἐπιγραμμάτων (*).

αὐτὰ ἐκεῖνα, ἃ ὑπάρχουσι καὶ ἐν τῇ Ἀκολουθίᾳ.

(1) Βλ. τὴν ἐκκλησ. Ἀκολουθ. ἑλληνιστί. Πλὴν τούτου τῇ κδ´ Μαΐου ψάλλονται Στιχηρὰ τοῦ θείου Πατρὸς Συμεῶνι τῷ ἐν τῷ Θαυμαστῷ ὄρει.

(2) Ἐν τῇ Κοσλ. Βιβλ. παρὰ Μοντφωκονίῳ σελ. 591. Τὸ ἱεροσολυμ. Τυπικὸν φέρει τὴν ἐπιγραφήν: «Ἀρχὴ Τυπικοῦ τῆς ἐκκλ. Ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγ. Λαύρας τοῦ ὁσίου καὶ θεοφόρ. Πατρὸς ἡμῶν Σάββα συντεθὲν καὶ συγγραφὲν παρὰ τοῦ ἁγιωτάτου Πατρὸς καὶ ἱερομονάχου κυροῦ Σωφρονίου. Αὕτη ἡ Ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν Ἱεροσολύμων ἁγίαις Μοναῖς».

(3) Ὁ Μάϊος ἐξέδωκεν in IV tom. Spicil. Rom. α) p. 49-125 τὸ ἑλλην. κείμ. τῶν ἀνακρεοντείων. β) p. 620-646 τὴν λατιν. αὐτῶν μετάφρασιν πεζῇ· γ) p. 585-592 τὰς εἰς αὐτὰς κριτικὰς σημειώσεις Πέτρου τοῦ Ματράγκου· δ) p. 593-620 τὰς εἰς αὐτὰ φιλολογικὰς σημ. τοῦ αὐτοῦ Πέτρου τοῦ Ματράγκου· ε) in praefat. p. 17-39 τὰς εἰς αὐτὰ ἱστορικὰ σχόλια τοῦ αὐτοῦ. Ἐκ τῶν ὑπὸ τοῦ Μαΐου ἐκδοθεισῶν 19 ᾠδῶν—ἡ α´ εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου, ἡ β´ εἰς τὴν Χριστοῦ τοῦ Θεοῦ Γέννησιν, ἡ γ´ εἰς τὴν τῶν Μάγων προσκύνησιν, ἡ δ´ εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου καὶ Θεοῦ, ἡ ε´ εἰς τὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Βάπτισιν, ἡ ϛ´ εἰς τὸ περὶ τὸν Λάζαρον θαῦμα τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ ζ´ εἰς τὴν Βαϊπάντησιν τοῦ Κυρίου, ἡ η´ εἰς τὸν μυστικὸν καὶ θεῖον Δεῖπνον τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, ἡ θ´ εἰς τὸν ἅγιον Παῦλον τὸν Ἀπόστολον, ἡ ι´ εἰς τοὺς ἀγῶνας τοῦ ἁγίου Παύλου τοῦ Ἀποστόλου, ἡ ια´ εἰς Ἰωάννην τὸν Θεολόγον, ἡ ιβ´ εἰς τὸν ἅγιον Πρωτομάρτυρα Στέφανον, ἡ ιγ´ εἰς

§. 250. Μάξιμος ὁ Ὁμολογητής α΄) ἐν τῷ βίῳ.

Ὁ ἅγιος Μάξιμος ὁ Ὁμολογητὴς ἐγένετο εἷς τῶν θερμοτάτων προμάχων τῆς ἀληθείας κατὰ τῶν Μονοθελητῶν, ὑφ᾽ ὧν, εἴπέρ τις καὶ ἄλλος, πλεῖστα ὅσα ἔπαθε δεινά.

Γεννηθεὶς ἐξ εὐγενοῦς τῆς Κωνσταντινουπόλεως οἴκου, ἐξεπαιδεύθη ἄριστα. Ἕνεκα τῆς παιδείας καὶ τῶν πολλῶν αὐτοῦ ἀρετῶν ἐγένετο Ἡρακλείου τοῦ Αὐτοκράτορος ἀρχιγραμματεύς, ἢ ἐξ ἀπορρήτων (πρωτοασκρῆτις). Ἀχθόμενος δὲ ἐπὶ τῇ ἐν τοῖς ἀνακτόροις ἐπικρατησάσῃ διδασκαλίᾳ τοῦ μονοθελητισμοῦ, ἀπεχώρησε τῷ 641 εἰς τὸ ἐν Χρυσουπόλει Μοναστήριον, ἐκεῖθεν δὲ ἀπῆλθεν εἰς Ἀφρικήν, ἧς τοὺς ἐπισκόπους ἔπεισεν ἀγωνίσασθαι παντὶ σθένει πρὸς τοὺς Μονοθελήτας καὶ κατακρῖναι ἐν συνόδοις τὴν αἵρεσιν αὐτῶν (1). Τῷ 645 θείῳ ζήλῳ ἐξαφθείς, κατέλαβε τὴν πρεσβυτέραν Ῥώμην, ἧς τὸν Π. Μαρτῖνον ἔπεισε τοπικὴν συναγεῖραι Σύνοδον. Ἡ ἐν Λατεράνῳ συγκροτηθεῖσα Σύνοδος, ἧς ἦν ψυχὴ ὁ Μάξιμος, κατεδίκασε τήν τε Ἔκθεσιν τοῦ Ἡρακλείου καὶ τὸν Τύπον τοῦ Αὐτοκράτορος Κώνσταντος (2). Ὁ Κώνστας κατιδών, ὅτι τὰ ὑπὲρ τοῦ μονοθελητισμοῦ λαμβανόμενα ὑπ᾽ αὐτοῦ μέτρα ματαιοῦνται κατ᾽ ἐξοχὴν ὑπὸ τοῦ Μαξίμου, διέταξεν, ἀποθανόντος τοῦ Μαρτίνου (τῷ 655), ἀπαχθῆναι αὐτὸν στρατιωτικῇ χειρὶ ἐκ Ῥώμης εἰς Κωνσταντινούπολιν· ὁ πλήρης ἐνθέου ὑπὲρ τῆς ὀρθοδόξου διδασκαλίας ζήλου θεῖος ἀνὴρ ἤλεγξε καὶ ἐνταῦθα μετ᾽ ἄκρας παρρησίας τὰς καθ᾽ ἑαυτοῦ τε καὶ τῆς πίστεως συκοφαντίας. Ἐντεῦθεν ὁ Κώνστας ἐξώρισεν αὐτὸν (τῷ 656) εἰς Βιζύην τῆς Θρᾴκης, μετ᾽ οὐ πολὺ δὲ μετεκαλέσατο εἰς Κων]πολιν, καθεῖρξε, καὶ ὑποσχέσεσι καὶ ἀπειλαῖς ἐσπούδαζε καταστῆσαι αὐτὸν ὁμόφρονα αὐτῷ. Ἐπιμένοντος δὲ τοῦ ἱεροῦ ἀνδρὸς τῇ ὀρθοδόξῳ πίστει, ἐκέλευσε τύψαι αὐτὸν νεύροις ἀπεσκληκόσι καὶ ἐκτεμεῖν τὴν

τὴν ἁγίαν Πρωτομάρτυρα Θέκλαν—αἱ λοιπαὶ—εἰς σύγχρονα γεγονότα.

(*) Ὁ Ἰακώβιος κατεχώρησεν ἐν τῇ Ἀνθολογίᾳ αὐτοῦ (3. 3. p. 619) ἐξαίρετα ἐπιγράμματα τοῦ ἁγίου Σωφρονίου.

(1) Συνόδ. περιέχον ἐν ἐπιτομῇ . . . σελ. 127. 128. 137. ap. Fabric. B. Gr. T. II. p. 241-242.

(2) Διάλ. πρὸς Πύρρον.

γλῶσσαν αὐτοῦ. Οὐ παυομένου δὲ καταπολεμεῖν τὴν αἵρεσιν δι᾽ ἐπιστολῶν, ἐξέτεμεν ὁ δυσσεβὴς Αὐτοκράτωρ τὴν χεῖρα αὐτοῦ, εἷλκε καὶ περιῆγεν αὐτὸν κατὰ τὴν ἀγορὰν τωθασμοῖς αὐτὸν καὶ σκώμμασι βάλλων (1). Τέλος ἀπήγαγεν αὐτὸν εἰς ἓν τῶν κατὰ τὴν Ἀλανίαν φρουρίων, Σχίμαριν λεγόμενον, ὅθεν ὁ ἅγιος Ὁμολογητὴς μετεκλήθη πρὸς τὰς αἰωνίους σκηνὰς τῷ 662ῳ σωτηρίῳ ἔτει (2).

§. 251. β΄) Ἐν τοῖς συγγράμμασιν.

Ὁ ὅσιος Μάξιμος συνέταξε πολλὰ καὶ ποικίλα συγγράμματα (3), ὧν τὰ ἀξιολογώτατά εἰσι τὰ εἰς τὸν πνευματικὸν βίον ἀφορῶντα, καὶ κατ᾽ ἐξοχὴν τὰ ἑξῆς :

1) Περὶ ἀγάπης πρὸς Ἐλπίδιον 400 κεφάλαια, σύγγραμμα θαυμαστὸν καὶ περισπούδαστον. Ὁ Π. Φώτιος λέγει περὶ αὐτοῦ : «Καὶ τὸ εἶδος αὐτῷ τοῦ λόγου εἰς τὸ λευκόν τε καὶ ἔντορνον, ἥπερ οἱ ἄλλοι, διατυποῦται, καὶ οὐδὲν παρέχει ὃ ἄν τις διερμηνεύσοι μιμήσασθαι, πλὴν ὡς ἔσθ᾽ ὅπῃ τὴν ἀττικὴν τῆς ἄλλης φωνῆς οὐ προκρίνει» (4). Ἡ πραγματικὴ δ᾽ αὐτοῦ ἀξία συνίσταται ἐν τῇ ἑνώσει τῆς πεπειραμένης ἁπλότητος μετὰ τοῦ βάθους τῶν ἐννοιῶν (5).

2) Λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν

---

(1) Εἰς τὸν β. καὶ τὴν ἄθλησιν τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Μαξίμου. Ἐξήγησις τῆς κινήσεως γενομένης μεταξὺ τοῦ Κυροῦ Ἀββᾶ Μαξίμου καὶ τῶν σὺν αὐτῷ, καὶ τῶν ἀρχόντων ἐπὶ Σεκρέτου.

(2) Ἐξεδήμησε πρὸς Κύριον τῇ ιγ΄ Αὐγούστου, ὡς γράφουσιν οἱ μαθηταὶ αὐτοῦ. Κατὰ ταύτην τὴν ἡμέραν ἑορτάζεται ἡ μνήμη αὐτοῦ ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἐν ᾧ ἐν τῇ ἑλληνικῇ ὥρισται ἑορτάζειν αὐτὴν τῇ κα΄ Ἰανουαρίου.

(3) Ἐκδόσεις αὐτῶν : α) S. Maximi Op. omnia Gr. et lat. August. Vindel. 1599, ἔκδοσις οὐ πλήρης καὶ οὐχ ἁπανταχοῦ ὀρθή β) S. Maximi Op. omnia Gr. et lat. curante Combeficio, paris. 1675. II. ἔκδοσις ἐπιδιωρθωμένη, ἀλλ᾽ οὐ πλήρης. Βλ. Oudin. Comm. I. 1645. Montfaucon. Bibl. Coislin. p. 307. 311. 412.

(4) Ἀνάγν. 193.

(5) Τὰ κεφάλαια ταῦτα ἐξέδωκε μετὰ μεταφρ. ὁ Vincentius Opsopocus Hagenoe, 1531 in 8.

πρὸς τὸν αὐτὸν Ἐλπίδιον,— « χρήσιμος μὲν ἅπασι, λέγει ὁ Φώτιος, ὁ λόγος, μάλιστα δ᾽ οἷς ἄσκησιν ἡ πολιτεία· ἠθῶν γάρ, δι᾽ ὧν ἄν τις οὐρανοπολίτης γένοιτο, ἐστὶ διδάσκαλος καὶ γεωργός· μάλιστα δὲ τῆς ἀγάπης καὶ τὴν γνῶσιν καὶ τὴν ἐργασίαν πολλὰς ἐνδίδωσιν ἐπελθεῖν ἀφορμάς» (1).

3) Κεφάλαια διάφορα 500 θεολογικά τε καὶ οἰκονομικά, καὶ περὶ ἀρετῆς καὶ κακίας—σύγγραμμα παρόμοιον τῷ περὶ ἀγάπης κατὰ τὴν ἀξίαν αὐτοῦ (2).

4) Ἐπιστολὴ πρὸς Γεώργιον ἔπαρχον Ἀφρικῆς περὶ ὑπερηφανίας, «πολλῆς ὠφελείας καὶ κατανύξεως γέμουσα» (3).

5) Ἐπιστολὴ πρὸς Ἰωάννην Κουβικουλάριον— περὶ ἀγάπης (4), πρὸς τὸν αὐτὸν περὶ τῆς κατὰ Θεὸν λύπης(*).

6) Μυσταγωγία περὶ τοῦ τίνων σύμβολα τὰ κατὰ τὴν ἁγίαν Ἐκκλησίαν ἐπὶ τῆς συνάξεως τελούμενα καθέστηκε. Τὸ σύγγραμμα τοῦτό ἐστι πλῆρες ὑψηλῶν ἐννοιῶν, ἀλλ᾽ ἄνευ ἱστορικῆς ἀκριβείας. Τοιαῦτα ἐπ᾽ ἴσης εἰσὶ τὰ ὑπομνήματα αὐτοῦ εἰς τὰ συγγράμματα τοῦ Ἀρεοπαγίτου.

Ὁ ἅγιος Μάξιμος ἐν ἅπασιν αὐτοῦ τοῖς δογματικοῖς συγγράμμασι ἔχει ὑπ᾽ ὄψει σχεδὸν μόνον τοὺς Μονοθελήτας καὶ τοὺς Μονοφυσίτας, ὡς καὶ ἐν ἅπαντι αὐτοῦ τῷ βίῳ πλέον ἁπάντων ἠγωνίζετο πρὸς τοὺς πρώτους. Κατὰ τῶν ἀποδεχομένων ἓν μόνον θέλημα ἐν Χριστῷ ἐγράφησαν:

1) Δύο τόμοι δογματικοὶ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου (5).

2) Περὶ θελημάτων δύο τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, περὶ ἐνεργειῶν καὶ θελημάτων ἐν Χρι-

(1) Ἀνάγν. 193.
(2) Τ. Ι. p. 512-634.
(3) Ἀνάγν. 194.
(4) Τ. ΙΙ. p. 219-231.
(*) P. 231-235.
(5) τ. ΙΙ. p. 234-246. 129-134.

στῷ (1). Πρὸς τὸν αὐτὸν Μαρῖνον ἔγραψε καὶ πολλὰς ἄλλας οὐ τοσοῦτον μακρὰς πραγματείας (2).

Κατὰ τῶν Μονοφυσιτῶν ἐγράφησαν:

1) Περὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας τοῦ Θεοῦ δογμάτων, καὶ κατὰ Σευήρου τοῦ αἱρετικοῦ (3).

2) Περὶ τῶν δύο Χριστοῦ φύσεων (4). Εἰς αὐτὸν ἐπ' ἴσης ἀνήκουσιν οἱ τρεῖς Διάλογοι περὶ τῆς Ἁγίας Τριάδος, οὐκ ὀρθῶς ἀποδιδόμενοι ὁτὲ μὲν τῷ ἁγίῳ Ἀθανασίῳ, ὁτὲ δὲ τῷ μακαρίῳ Θεοδωρήτῳ (5).

Ἐν τοῖς δογματικοῖς συγγράμμασιν ἀξιοσημείωτός ἐστιν ἡ ἐπιστολὴ πρὸς πρεσβύτερον Μαρῖνον περὶ τῆς Ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Ὁ Ὅσιος ἐπὶ μακρὸν χρόνον διατρίψας ἐν τῇ Δύσει, γράφει, ὅτι, εἰ καί τινες λέγουσιν ἐν αὐτῇ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ, ὅμως διὰ τούτου δηλοῦσι μόνον τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ ἁγίῳ Πνεύματι, «μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν· τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν» (6).

---

(1) Τ. II. p. 1-16. 18-27.

(2) Τ. II. p. 98. ἐπ. περὶ δύο θελημάτων p. 46. πρὸς Νίκανδρον p. 74-76. πρὸς Πέτρον Ἰλλούστριον, p. 81-98. τόμον κατὰ τῆς Ἐκθέσεως τοῦ Ἡρακλείου, p. 151-158.

(3) Τ. II. p. 259.-291.

(4) Τ. II. p. 76-82. Ἐνταῦθα ἀναφέρονται ἐπ' ἴσης τὰ Κεφάλαια περὶ Ἐνανθρωπήσεως.

(5) Ὡς σύγγραμμα τοῦ Μαξίμου ἐγίνωσκον αὐτό: α) Δημήτριος ὁ Κυδώνιος περὶ Ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, κεφ. ε'. Γρηγόρ. Κωνσταντιν. παρ' Ἀλλατίῳ Τ. I. Fid. Ortod. p. 448, Μανουὴλ ὁ Κολέκας in II. Tom. Auct. novis. Combefic. p. 37. 233, Γεώργιος ὁ Πρωτοσύγγελλος ἐν τῇ Ἀπολογ. αὐτοῦ, καὶ Ἰωσὴφ ὁ Βρυέννιος Τ. I. p. 177. β) ὁ Κομβεφίσιος λέγει, ὅτι ἅπαντα τὰ ἀρχαῖα χειρόγραφα καλοῦσιν αὐτὸ σύγγραμμα τοῦ Μαξίμου.

(6) Τ. II. p. 69-73 «... Καὶ τὸ μὲν πρῶτον συμφώνως παρήγαγον χρήσεις τῶν ρωμαίων Πατέρων, ἔτι γε μὴν καὶ Κυρίλλου Ἀλεξανδρείας ἐκ τῆς πονηθείσης αὐτῷ εἰς τὸν Εὐαγγελιστὴν ἅγιον Ἰωάννην ἱερὰς πραγματείας· ἐξ ὧν οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας τοῦ Πνεύματος

Αἱ ἔριδες ἐκείνου τοῦ χρόνου ᾔτουν ἰδιάζουσαν ἀκρίβειαν ἢ λεπτότητα ἐν τοῖς ὁρισμοῖς τῶν ὑποθέσεων τῆς πίστεως, κατ᾽ ἐξοχὴν δὲ ὡς πρὸς τὸ πρόσωπον τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἠνάγκαζον τοὺς διδασκάλους στρέφεσθαι πρὸς τὰς τῆς ψυχῆς ἐπισκοπήσεις. Ἐν τοιούτῳ πνεύματι ἔγραψεν ὁ ὅσιος Μάξιμος : α΄) βιβλιάριον περὶ ψυχῆς καὶ τῶν ἐνεργειῶν αὐτῆς (¹) · β΄) περὶ ποιότητος, ἰδιότητος, καὶ διαφορᾶς(²).

Ὡς δοκίμιον τῆς πρὸς τὴν φιλοσοφίαν ἀγάπης τοῦ ὁσίου Μαξίμου χρησιμεύουσιν αἱ Ἐκλογαὶ αὐτοῦ ἐκ διαφόρων βιβλίων τῶν τε καθ᾽ ἡμᾶς καὶ τῶν θύραθεν συγγραφέων περὶ ὑποθέσεων ὡς ἐπὶ τὸ πλεῖστον ἠθικῶν καί τινων θεωρητικῶν (³).

σφᾶς αὐτοὺς ἀπέδειξαν· μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν· τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν, ἀλλ᾽ ἵνα τὸ δι᾽ Αὐτοῦ προϊέναι δηλώσωσι· καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι . . .

(¹) T. II. p. 195.

(²) T. II. p. 134. Καὶ ἔτι: περὶ κοινοῦ καὶ ἰδίου, p. 313-333, περὶ οὐσίας καὶ φύσεως, ὑποστάσεώς τε καὶ προσώπου, p. 146-149, περὶ τοῦ ὅτι ἀσώματός ἐστιν ἡ ψυχή. T. II. p. 238-243, περὶ τοῦ καὶ μετὰ θάνατον ἔχειν τὴν ψυχὴν τὴν νοερὰν ἐνέργειαν καὶ μηδεμιᾶς ἐξίστασθαι φυσικῆς δυνάμεως. p. 343-251.

(³) T. II. p. 528-582. Αἱ Ἐκλογαὶ αὗταί εἰσι τὸν ἀριθμὸν 71. Διαταχθεισῶν τῶν ὑποθέσεων κατὰ τὸ σύστημα τῆς ἠθικῆς διδασκαλίας, αἱ Ἐκλογαὶ τοῦ Μαξίμου δύνανται παρασταθῆναι ὡς ἑξῆς: περὶ νόμου (κεφ. 58), περὶ ἑκουσίου καὶ ἀκουσίου (55), περὶ συνηθείας καὶ ἔθους (65), περὶ βίου ἀρετῆς καὶ κακίας (1), περὶ τοῦ ὅτι δεῖ τιμᾷν ἀρετὴν καὶ κολάζειν κακίαν (68), περὶ φρονήσεως καὶ βουλῆς (2), περὶ πίστεως (51), περὶ ἐλπίδος (38), περὶ φόβου(24), περὶ προσευχῆς (14), περὶ ὅρκου (33), περὶ τοῦ γνῶθι σαυτὸν (56), περὶ ἀφροσύνης, ἄφρονος καὶ ἀστάτου, καὶ ἀπαιδεύτου καὶ μωροῦ (60), περὶ παιδείας καὶ φιλοσοφίας (17), περὶ πολυπραγμοσύνης, καὶ ἡσυχίας (21), περὶ ἀνδρίας καὶ ἰσχύος (4), περὶ βίου ἀνωμαλίας (67), περὶ φιλαυτίας (69), περὶ ταπεινοφροσύνης (49), περὶ ἁμαρτίας καὶ

Ὁ ἅγιος Μάξιμος ἠσχολήθη οὐκ ὀλίγον καὶ περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς. Κατέλειπε δὲ δοκίμιά τινα ἑρμηνείας εἰς αὐτήν: α΄) περὶ διαφόρων ἀπόρων τῆς θείας Γραφῆς ἐρωτήσεις καὶ ἀποκρίσεις· β΄) πεύσεις καὶ ἀποκρίσεις καὶ ἐρωτήσεις καὶ ἐκλογὰς διαφόρων κεφαλαίων ἀπορουμένων· γ΄) ἑρμηνίαν εἰς τὸν νθ΄ ψαλμόν· δ΄) εἰς τὴν Προσευχὴν τοῦ Πάτερ ἡμῶν πρός τινα φιλόχριστον ἑρμηνείαν σύντομον([1]). ε΄) ἑρμηνείαν εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων([2]).

ἐξαγορεύσεως (26), περὶ γέλωτος (64), περὶ λύπης καὶ ἀθυμίας (28), περὶ γλωσσαλγίας (47), περὶ ἁγνείας καὶ σωφροσύνης (3), περὶ κάλλους (44), περὶ ἀκρασίας καὶ γαστριμαργίας (27), περὶ ἀσωτίας (61), περὶ φιλοπονίας (32), περὶ κενοδοξίας (34), περὶ ἐπαίνου (43), περὶ εὐγενείας καὶ δυσγενείας (63), περὶ πλούτου καὶ πενίας καὶ φιλαργυρίας (12), περὶ αὐταρκείας (13), περὶ ὑπομονῆς καὶ μακροθυμίας (42), περὶ ἰατρῶν (50), περὶ φίλων καὶ φιλαδελφίας (6), περὶ εὐεργεσίας καὶ χάριτος (8), περὶ πλεονεξίας (22), περὶ δικαιοσύνης (5), περὶ ἀληθείας καὶ ψεύδους (35), περὶ κολακείας (11), περὶ ψόγου καὶ διαβολῆς (10), περὶ φθόνου (54), περὶ ὀργῆς (19), περὶ ἀκακίας καὶ μνησικακίας (66), περὶ νουθεσίας (16), περὶ σιωπῆς καὶ ἀπορρήτων (20), περὶ τιμῆς γονέων καὶ φιλοτεκνίας (23), περὶ ἀρχῆς καὶ ἐξουσίας (9), περὶ εἰρήνης καὶ πολέμου (37)·—θεωρητικαὶ ὑποθέσεις: περὶ προνοίας (48), περὶ ψυχῆς (53), περὶ λογικοῦ καὶ λογισμοῦ (54), περὶ μνήμης (52).

(1) T. I. p. 1-300. 301-334. 335-343. 344-366. Αἱ ἐκδοθεῖσαι Ἀποκρίσεις ἐγράφησαν πρὸς Θαλάσσιον. Οὔπω δ' ἐξεδόθησαν αἱ ἐρωτήσεις Μαξίμου μοναχοῦ πρὸς τὸν ἁγιώτατον κύριον Νικηφόρον, γεγονότα χαρτοφύλακα τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, περὶ διαφόρων κεφαλαίων. Ms. in Bibl. Caes. Βλ. Lambec. VI. p. 56. I. p. 125. n. 3. ed Collar. de Cod. XVIII.

(2) Τεμάχια τῆς ἑρμην. in Expos. Canticorum. ed. in. II. t. Auct. Ducæani, 1624. Οὐ σπανίως παράγονται ἑρμηνεῖαι τοῦ Μαξίμου in Cat. in Psalmos, in Evangelia, in Ep. Jacobi, Montfaucon. B. C. p. 244. 67. 252. 265. Cat. C. B. s. Marci, p. 23. 259.

Ἐκ τῶν συγγραμμάτων αὐτοῦ δῆλον, ὅτι ἐγίγνωσκε τὰς μεταφράσεις τοῦ Συμμάχου καὶ τοῦ Θεοδοτίωνος, τὴν Μισνάν, καὶ τὸ ἑβραϊκὸν κείμενον τῆς ἁγίας Γραφῆς (1). Δυστυχῶς τὸ πνεῦμα τοῦ αἰῶνος παρέσυρεν αὐτὸν εἰς ἀλληγορίας ἐκ τῆς ἁπλῆς διανοίας τῆς Γραφῆς. Ὁ μακάριος Π. Φώτιος ἀποφαίνεται περὶ τοῦ συγγράμματος αὐτοῦ Διάφορα ἄπορα τῆς θείας Γραφῆς ὧδε: «Ἔστι δὲ τὴν φράσιν σχοινοτενής τε ταῖς περιόδοις, καὶ χαίρων ὑπερβατοῖς, ἐνακμάζων τε ταῖς περιβολαῖς, καὶ κυριολογεῖν οὐκ ἐσπουδασμένος· ἐξ ὧν αὐτῷ τῇ συγγραφῇ καὶ τὸ ἀσαφὲς καὶ δυσεπισκόπητον διατρέχει. Τῷ τραχεῖ δὲ τοῦ ὄγκου, ὅσα περὶ συνθήκην καὶ ἀναπαύσεις, τὸν λόγον ὑποβάλλων οὐδ᾽ ἡδὺς εἶναι σπουδάζει τῇ ἀκοῇ. Καὶ ἡ μεταφορὰ αὐτῷ τῶν λέξεων οὐκ εἰς τὸ χαρίεν καὶ γεγοητευμένον περιήνθηται, ἀλλ᾽ οὕτως ἁπλῶς καὶ ἀπεριμερίμνως παραλαμβάνεται. Ὁ δ᾽ ἐγγὺς καὶ τοὺς περὶ αὐτὸν ἐσπουδακότας ἀποκναίει, πόρρω τοῦ γράμματος καὶ τῆς ἐγνωσμένης ἱστορίας, ἢ μᾶλλον καὶ αὐτοῦ τοῦ ἠπορημένου, αἱ λύσεις αὐτῷ περινοοῦνται. Πλὴν εἴ τινι φίλον ἀναγωγαῖς καὶ θεωρίαις τὸν νοῦν ἀνελίσσειν, οὐκ ἂν ποικιλωτέραις οὐδ᾽ ἐσπουδασμέναις μᾶλλον, ἢ ταύταις περιτύχοι» (2). Ἐκ τούτου αἱ εἰς τὴν ἁγίαν Γραφὴν ἑρμηνεῖαι τοῦ ὁσίου Μαξίμου εἰσὶν ὀλίγον ὠφέλιμοι τῷ ἑρμηνευτῇ. Εἰσὶ δὲ πλήρεις ὑψηλῶν δογματικῶν καὶ ἠθικῶν ἐννοιῶν.

Ὁ ὅσιος Μάξιμος ἔκρινε περὶ τῆς ἀναφορᾶς τῆς χάριτος πρὸς τὴν ἀνθρωπίνην ψυχὴν ὧδε: «Τὰς μὲν ἐκζητικάς τε καὶ ἐξερευνητικὰς τῶν θείων δυνάμεις οὐσιωδῶς ἔχει καταβεβλημένας αὐτῇ παρὰ τοῦ κτίσαντος καὶ αὐτὴν τὴν εἰς τὸ εἶναι πάροδον ἡ τῶν ἀνθρώπων φύσις· τὰς δὲ τῶν θείων ἀποκαλύψεις κατὰ χάριν ἡ τοῦ παναγίου Πνεύματος ἐπιφοιτῶσα ποιεῖται δύναμις. Ἐπειδὴ δὲ κατ᾽ ἀρχὰς διὰ τῆς ἁμαρτίας τῇ φύσει τῶν ὁρατῶν ταύτας ὁ πονηρὸς προσήλωσε τὰς δυνάμεις· καὶ οὐκ ἦν ὁ συνιῶν ἢ ἐκζητῶν τὸν Θεόν, πάντων τῶν μετειληφότων τῆς φύσεως τὴν νοεράν τε καὶ λογικὴν δύναμιν ἐχόντων περιγεγραμμένην τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν, καὶ

(1) Τ. II. p. 17. 35. 166. 17.
(2) Ἀνάγν. 191.

μηδεμίαν κεκτημένων ἔννοιαν τῶν ὑπὲρ αἴσθησιν· εἰκότως ἡ τοῦ παναγίου Πνεύματος χάρις τοῖς μὴ κατὰ πρόθεσιν ἐνδιαθέτως ὑπὸ τὴν ἀπάτην γενομένοις . . . . Οὐ γὰρ θέμις εἰπεῖν, ὡς μόνη καθ᾽ ἑαυτὴν ἡ χάρις ἐνήργει τοῖς ἁγίοις τὰς γνώσεις τῶν μυστηρίων χωρὶς τῶν τῆς γνώσεως δεκτικῶν κατὰ φύσιν δυνάμεων. Ἐπεὶ μὴ συνιέντας εἰσάγομεν τοὺς ἁγίους Προφήτας τῶν δοθέντων αὐτοῖς ὑπὸ τοῦ παναγίου Πνεύματος φωτισμῶν τὴν δύναμιν· καὶ πῶς ἀληθὴς ὁ φάσκων ἐστὶ λόγος, ὅτι ὁ σοφὸς νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος; Οὔτε μὴν δίχα τῆς τοῦ παναγίου Πνεύματος χάριτος, μόνῃ τῇ κατὰ φύσιν δυνάμει ζητήσαντες τὴν ἀληθῆ τῶν ὄντων ἀπειλήφασι γνῶσιν· ἐπειδὴ περιττὴ δειχθήσεται τοῖς ἁγίοις ἡ τοῦ Πνεύματος ἐπιφοίτησις, κατὰ μηδὲν αὐτοῖς συνεργοῦσα πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν . . . . οὐκοῦν οὔτε ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐνεργεῖ σοφίαν ἐν τοῖς ἁγίοις χωρὶς τούτου δεχομένου νοός· οὔτε γνῶσιν χωρὶς τῆς δεκτικῆς τοῦ λόγου δυνάμεως· οὔτε πίστιν ἄνευ τῆς κατὰ νοῦν καὶ λόγον τῶν μελλόντων καὶ πᾶσι τέως ἀδήλων πληροφορίας· οὔτε ἰαμάτων χαρίσματα δίχα τῆς κατὰ φύσιν φιλανθρωπίας· οὔτε τι ἕτερον τῶν λοιπῶν χαρισμάτων χωρὶς τῆς ἑκάστου δεκτικῆς ἕξεώς τε καὶ δυνάμεως· οὔτε μὴν πάλιν ἓν τῶν ἀπηριθμημένων ἄνθρωπος κτήσεται κατὰ δύναμιν φυσικὴν δίχα τῆς χριομένης ταῦτα θείας δυνάμεως . . . . Τοῦ Πνεύματος ἡ χάρις οὐδαμῶς τῆς φύσεως καταργεῖ τὴν δύναμιν, ἀλλὰ μᾶλλον καταργηθεῖσαν τῇ χρήσει τῶν παρὰ φύσιν τρόπων, ἐνεργὸν ἐποίει πάλιν τῇ χρήσει τῶν κατὰ φύσιν πρὸς τὴν τῶν θείων κατανόησιν εἰσάγουσα . . . . Ὡς γὰρ χωρὶς σαρκὸς νοερῶς ἐμψυχωμένης οὐκ ἐνήργει θεοπρεπῶς τὰ κατὰ φύσιν τῆς σαρκὸς ὁ λόγος· οὕτως οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐν τοῖς ἁγίοις ἐνεργεῖ τὰς γνώσεις τῶν μυστηρίων χωρὶς τῆς κατὰ φύσιν ζητούσης τε καὶ ἐρευνώσης τὴν γνῶσιν δυνάμεως » (1).

Ὁ ἅγιος Μάξιμος ἀποδέχεται ὡς ἀρχὴν τοῦ πνευματικοῦ βίου ἐν τῷ ἀνθρώπῳ τὴν πίστιν, ἀλλὰ πίστιν ζῶσαν, οὐκ ἄκαρπον, ἄλλως

(1) Περὶ διαφ. ἀπόρων τῆς Θ. Γραφῆς. Τ. Ι. p. 200-201.